548 *διδύμοις Lv,* fortasse scribendum *Διδύμοισιν* coll. vs. 134. sed res dubia. vide 564 *ἢ Ἄρεϊ* et 355 *λείποι οἶκον* et O. Schneider. ad Callimach. hym. V 61. — *ἠδ' αἰπυτάτωι L, ἢ δ' αἰπυτάτῳ f,* corr. *g.* — 551 *ὡς δὲ καὶ Lf, ὧς δὲ καὶ g,* 'sed oppositio est antecedentibus 550 *πουλὺν ἐπὶ χρόνον* et 546 *δηναιὴν — λύσιν.* hinc scripsi *ἔμπαλι δ'.* versus initium mutilatum male ex 547 suppletum est' *k.* *ἔμπαλι* nostro inusitatum, quare praetuli *εἰ δέ κεν* coll. vs. 595 al. — *ἐν σκορπίωι αἰθερίωι Lf, αἰθερίῳ ἐν σκορπίῳ gk* cum Dorvillio p. 666. — 553 *ἠὲ Lfg, ἠδὲ k.* — 554 *δινεύουσα Lv,* scripsi *δινεύῃσι.* — *ἡμερίοισι g.* — 555 *ἄψεα Lfg, ἅψεα k.* — 557 *εἰ Lf, ἦ gk.* — *ἀνατλήσειεν Lfg, ἀναπλήσειεν k* ex em. Lobeckii Paralipom. gr. Gr. p. 173 not. — *βροτοῖσ* (ρ in ras.) *L, βροτὸς v.* — 559 *βιότοιο L,* sed *ότοι* in ras. scripsit *l.* — 560 'Vide an scribendum sit *ἐλλάδας*' *g;* 'si quid mutandum, potius ex Il. *N* 572 *ἰλλάδας* scripserim' *k.* — *γυΐων L.* — 561 *ἠν δε L, ἢν δὲ fgk*, εἰ δὲ k* ('fortasse vice versa 564 *ἢν* restituendum erat, ita ut particulae sedem permutaverint' *k*). — *φαείνη L,* ι adscr. *l, φανείῃ f, φανείῃ hgk, φαείνῃ k*.* —

εἰ δὲ Κρόνῳ κρυερῷ ἢ Ἄρεϊ συμφορέηται,
πολλάκις ἀργαλέοιο βίῃ δεσμοῖο πονηθεὶς
μέσφα πότμου φρουρεῖται ἀεὶ ἀδάμαντι συναπτῷ.

XII. *Περὶ κλοπῆς.*

Εἰ δέ τι κλεμμάδιον μεγάρων κειμήλιον ἔρροι,
ἢν μὲν ἐν Ἀρνειῷ κεραὴ τροχάησι Σελήνη,
σώεται ἂψ ἐς δῶμα καὶ ἐς χέρας εἶσιν ἄνακτος.
Ταύρῳ δ' ἐμβεβαυῖα παλίμφοιτος κερόεσσα
πέμπει πρὸς σθεναρὸν κτῆμα βροτόν, οὐδέ κε ῥεῖα
αὐτὸ κίχοις, οὐδ' αὐτὸς ὀνήσεται ἠλίθιος φώρ,
κέρδεος ἁρπαλέοιο δίκην ἰθεῖαν ὑποσχών·
φράζεο δ' ἐς δεκάτην τόδε μοι Ταύροιο κέλευθον.

---

564 *ἡ L*, *ἢ v*, malim *ἠδ'*. — 565 'Homer. Od. *ϑ* 336 *δεσμοῖς κρατεροῖσι πιεσθεὶς* dicit. non damnarim tamen *πονηθείς*' Dorvill. p. 663. — 566 (*ἀεὶ* om.) *συναπτῶι ἀδάμαντι Lfg*, '*ἐνὶ στιβαρῷ ἀδάμαντι* vel simile quid requiritur' Dorvill. l. l., 'posses *ἐν ἀγνάμπτῳ ἀδάμαντι*: nempe scriptum fuerat *ἀγνάπτῳ*, unde *απτῷ*' idem p. 672, 'posterius praeferendum esset, nisi ipsum illud *συναπτῷ* videretur sanum esse. hinc *ἀεὶ ἀδάμαντι συναπτῷ* dedi' *k*, *ἐν ἀτρύτῳ ἀδάμαντι* anon. Hal. p. 829.

Περὶ κλοπῆς: incipit fol. 8[r] *L*. — 568 *ἡ L*, *ἢ f*, *εἰ gk*, *ἢν* scripsi cum anon. Hal. p. 829 coll. vs. 367 sq. (179 et 346 sq.). — 569 *σώεται Lfg*, 'lege *σεύεται*. vide Hesych.' Dorvill. p. 663 probante Nauckio in Mélanges Gréco-Romains t. IV 1 p. 137, *σώζεται k*. vulgatam lectionem revocavi coll. Apoll. Rhod. II 296 *ὑπέστρεφον ἂψ ἐπὶ νῆα σώεσθαι* (vide II 610 1010 III 307) et Hesych. *σώοντο: ὡρμῶντο, ἤρχοντο* et Et. M. 742, 7. — 571 '*σθεναρὸν κτῆμα* interpres [i. e. Rentdorfius] legit *κλέμμα*, sed epitheton nec huic, nec illi convenit' Dorvill. p. 663. sine dubio *σθεναρὸν* corruptum. an legendum *στυγερὸν*? — *οὐδ' ἕτερεια L*, sed spiritum asperum scripsit *l*, *οὐδέ τε ῥεῖα fg*, *οὐδέ κε ῥεῖα k*. cfr. 206. — 573 *κέρδεοοόϑ* sic *L*, *κέρδεοσὅϑ* corr. *l*, *κέρδεος v*. — 574 *ἐσ δεκάτην τόδε L*, *εἰς δεκάτην τόδε fg*, *ἑνδεκάτην τότε k* ex coni. Dorvillii p. 663, cui obloquitur *d* 'non debebas Dorvillii coniecturam inferre poetae, qui dicit:

αἵ δ' ἄλλαι καλαὶ καὶ ἀπήμονες ἀνέρι μοῖραι,
οὐδέ τ' ἀνιηρὴν ἐπάγουσ' ἀλιτήμονι θωήν,
ἢν μὴ Ἄρει ξυνοῖο δρόμου τετύχῃσι Σελήνη.
 εἰ δέ κε δεικήλοις Διδύμων περάῃσιν ἄνασσα,
τέτμοις μέν, παῦρον δὲ νόῳ νοσφίζεο πῆμα.
 Καρκίνου αὖ ἐφέπουσα φαεσφόρος, εἰ μὲν ὄλοιτο
ἄργυρος αἰγλήεις, ἀνάγει πάλιν ἐς τεὸν οἶκον,
χρυσόν τ' εὐλαμπῆ· κτῆσις δ' ἁλιώσεται ἄλλη,
ἥτις ἂν ἐκ μεγάρων συλήσιος οἰχνεύσειεν.
 εἰ δὲ Λέοντος ἔχῃσι μένος πολυωπέτις αἴγλη
Μήνης ἠυκόμοιο, τότ' οὐ μάλα θαρσαλέος τοι
αὐδήσω παλίνορσον ἑλεῖν κτέαρ. εἰ δέ τε κούρην

---

hoc, quod monui, mente teneas usque ad decimam diem Tauri'. assentitur *k**. — 576 *οὐδ' L, οὐδέ* corr. *l*. — *ἂν εἰηρὴν L, ἀνειηρὴν f*, corr. *g*. — *αἰδιτήμονα L, αἰδήτμονα f*, 'an forma vocis *αἰδήτμονα* prae *αἰδήμονα* praestet, quoque dubites' Dorvill. p. 669, *αἰδήμονα gk*, '*αἰδήμονα θωήν* mihi iam olim suspectum fuit, adeo ut *ἀχθήμονα* commendaturus essem. nunc inventa codicis scriptura poetam dedisse arbitror *ἀλιτήμονι θωήν*' *k**. — 578 *ἢν Lv*, revocavi *εἰ* ex sequente versu, ubi *ἢν* abundat. in archetypo nisi fallor scriptum erat *εἰ*. ceterum cfr. 11 20 247 595. — 579 *εἰ τετμοισ μιν L, εἰ τέτμοις μὲν f* cum nota '*μὲν* versus non patitur', *τέτμοις μὲν g*, 'sed tum sequentia non quadrant. hinc *οὐ τέτμοις* scripsi' *k*, '*τέτμοις μὲν* scribendum esse nunc ex paraphrasi patet, sed de sequentibus magnopere ambigo, nec receptam iam probo interpretationem' *k**. — *νοσφίζεο* suspectum. — 580 *καρκίνωι Lv*, 'malim *καρκίνου*' Dorvill. p. 663, quem secutus sum coll. vs. 246. — *αὖ Lfg, αὖτ' k*. — *ελοιτο L, ἕλοιτο* corr. *l, ἕλοιτο fg, ὄλοιτο k* ex em. Lobeckii Pathol. ling. Gr. p. 421. — 582 *κτῆσιν δ' ἁλιώσεται ἄλλην Lv, κτῆσις δ' ἁλιώσεται ἄλλη* Dorvill. p. 663 coll. vs. 512. — 583 *ἤτισ L, ἥτις v, ἣν (ἥν?) τις* Dorvill. l. l. — *οἰχνεύσειεν Ldk*, ἰχνεύσειεν v*. — 585 *τοτου L, τότ' οὐ* corr. *l*, quod recepit *f, τότ' αὖ gk* improbante *d*. — *θαρσάλεός σοι Lf, θαρσαλέος σοι g*, 'neque multum abfuit, quin scriberem *θαρσαλέος τοι*, ut vs. 163' *g*, quod recepit *k*. —

Ἀστραίην διίῃσι κερασφόρος ἀργέτα Μήνη,
δηθύνει κλόπιον, χρόνιον δ᾽ ἀναφαίνεται αὖτις·
δήεις τ᾽, εἰ Χηλῇσιν ὁμοδρομέοι κερόεσσα,
εὕροις τ᾽, εἰ καὶ ἐπ᾽ ὀκταπόδῃ βεβαυῖα τύχῃσι
Σκορπίῳ. ἢν δέ γε Τοξότεω δέμας αἰνὸν ἔχῃσιν,
ὄλλυται, ἕρμαιον δὲ πέλει φώρεσσιν ἀνιγροῖς.
Αἰγόκερω δ᾽ εἴ κεν κλυτὰ τείρεα παμφαίνῃσιν
αἴγλῃσιν φιαρῇσι παλιστρέπτοιο Σελήνης,
ἦ τ᾽ ἂν δηναιὴ πέλοι εὕρεσις. εἰ δέ κεν ἄστρον
Ὑδροχόου διίῃσιν ἀγαυὴ Θειαντίνη,
ἐν δοιῇ σῶσίς τοι ἀπολλυμένου κτεάνοιο.
ὢς δὲ καὶ εἰαρινοῖσιν ἐν Ἰχθύσιν αἰθροπολεύσῃς
εὐκεράου Μήνης, μόλις οἴσεαι, ὅττι κακὸς φὼρ
ἐν παλάμαις κεν ἕλῃ· θαμέως δέ κεν ἀμφὶ κλοπείου

---

587 *Ἀστραίου Lv,* scripsi *Ἀστραίην* coll. 9 114 219 291 488. — *κέρασφόροσ L.* — 589 *δηεισ κ᾽ L, δήεις κ᾽ f, δήοις κ᾽ g, δήοις δ᾽ k.* scripsi *δήεις τ᾽.* indicativum tuetur vs. 604. — 591 et 592 inverso ordine scripsit *L,* numeris praescriptis corr. *l.* — 591 *ἔχησι L, ἔχῃσι fg.* — 592 *ἑρμαῖον Lv.* — 594 *παλιστρεπτοῖο Lf.* — 595 *δηναίη Lv,* corr. anon. Hal. p. 829. — *πέλοι L,* sed *οι* e corr. *l.* — 597 *ἐν δοιη σῶσίσ τε L, ἐν δοίῃ σώσειστε f, ἐν δοίῃ σώσεις τε h, ἐνδίη σώσοις κεν* 'meridiana, servaveris partem perditae possessionis' Dorvill. p. 667, '*ἐν δοίῃ, σώσειας* nescio quis. alius *ἐν δοίῃ σώσειν τι,* ut geminum Homerico *ἐν δοίῃ νῆας σαωσέμεν ἢ ἀπολέσθαι*' *g, ἐν δοιῇ σώσεις τε* anon. Hal. p. 829, *ἐν δοίῃ σῶσίς τοι gk.* — In margine *σχ̃ εν δισταγμῶι l.* — 598 *αἰθροπολεύσῃς Ldk*, αἰθροπολούσης v.* — 599 *καὶ φωρὸσ L, καὶ φῶρος f, κε φώρ τις* Dorvill. p. 658 (sed idem p. 662 '*φώρευς* pro *φὼρ* nescio an alias exstet. forte vs. 599 posset id substitui'), *κε φῶρος* sic *gk,* scripsi *κακὸς φὼρ.* — 600 *εἰ* (non *εἰς*) *παλάμασ κεν ελη L, εἰ π. κεν ἕλῃι* corr. *l, εἰς π. κεν ἕλοι fg, εἰς π. μὲν ἕλοι* Dorvill. p. 658. 'etiam duplex *ἂν* Atticorum more posuit Maximus vs. 21 [quem vide] et similiter duplex *κὲν* vs. 599 sq. neque enim alterum cum Dorvillio in *μὲν* mutaverim' Hermann. ad Orph. Lith. vs. 247. 'nisi corruptum est *κεν ἕλοι* latetque *ἕλθῃ* vel simile quid, scribendum videtur *φωρεύς,* de qua vocis

εἰσαΐοις, τὰ δὲ πολλὰ πέλοντ' ἀνεμώλιοι αὔτως
μῦθοι ἐπαγγελίῃσι κεναῖς θέλγοντες ἀκουάς.
εἰ δὲ Σεληναίῃ ξυνὴν τρίβον ἐγκονέῃσιν
ἄστροις ἀργαλέοις, δήεις κτέαρ. ἢν δὲ φερίστοις,
Ζηνὶ κελαινεφέι * * *
* * * κλόπιον κτέαρ ὄλλυται αὔτως.
* * * * * *
οὔτι λίην· φώρεσσι δ' ἐναίσιμα γίνεται ἐσθλὰ

---

forma conferas vs. 438' *g*. ἐς παλάμας κε πέλοι *k* (πέλῃ *k**). equidem de iterata particula κε (anon. Hal. p. 829 affert Hom. Od. δ 733 τῷ κε μάλ' ἢ κεν ἔμεινε) apud hunc poetam valde dubito. quare scripsi ὅττι κακὸς φὼρ ἐν παλάμαις κεν ἕλῃ coll. Hom. Od. μ 229 ἐν χερσὶν ἑλών. — κλοπειον *L*, sed *ν* in ras. exaravit *l*, qui praeterea supra paenultimam syllabam scripsit αί, κλοπείον *v*, κλοπαίον *dk**. — 601 εἰσαϊοισ *L*, εἰσαϊ, οῖσ sic corr. *l*, εἰσαΐοις *v*. — ταδε *L*, τάδε *l*, τὰ δὲ *v*. — αὔτωσ *L*. — 602 ἐπαγγελίηισι *L*, sed η in ras. *l*. — 603 ξυνὸν *Lfg*, ξυνὴν *k* ex em. Dorvillii p. 663. — ἐνκονέηισιν *L*, ἐν κονέῃσιν *f*, corr. Dorvill. l. l. — 604 ἀργαλέοισ *L*, sed post έ ras. — δηεισ *L*, δὴείσ corr. *l*. — 605 κελαινεφέει *Lf*, corr. *g*. — 'Lacunae signa post κελαινεφέι posui, ubi sequebatur Mercurii et Veneris commemoratio' *k* rectissime, ut docet μετάφρασις. — αὔτωσ *L*. — Post vs. 605 sequuntur in *L* (et *v*) duo versus ἢν δ' ἴσχῃι κρονίωνα σεληναίη ἀμαδίη | ἐν γενέθληι, παραδοσ μιν ἐπ' ἠγάθεον φαέθοντα, de quibus haec *k* 'equidem, si quid video, hic nihil nisi meras tenebras video. nam neque quomodo triplex Iovis memoratio explicari possit, nec quid aut ἐν γενέθλῃ apud hunc poetam, aut παράδος μιν, nec quid omnino vs. 606 sq. sibi velint, perspicere valeo. hinc hos ipsos versus uncis inclusi, quippe apertissime aliunde intrusos'. cui assentitur *d* 'manifestum est paraphrasten non legisse versus 606 et 607, quos recte seclusisti. videntur casu aliquo huc esse delati ex capite primo, ubi iam docet paraphrasis etiam de γενέσει locutum esse poetam'. recte sine dubio. vide primum carminis caput. — Etiam ante οὔτι λίην ('quod finem continet admonitionis, ne nimis velit ob rem furto ablatam moerori se dedere: cfr. 410 sq. 579') lacunae signa posuit *k*. — 608 Incipit fol. 8ᵛ *L*. — αἰνέσιμα *L*, ἐναίσιμα *v*. — γίνεται *L*, γείνεται corr. *l*. —

τείρεα Κυπρογένεια καὶ αἰγλήεις Διὸς ἀστὴρ
ἠδὲ καὶ ὠκυδρόμοιο φερεπτέρου Ἑρμάωνος.

---

610 *φερεπτέρου L*, signum *ὑφέν* infra pinxit *l*. — Subscriptio *μαξίμου περὶ καταρχῶν πεπλήρωται βιβλίον ἓν Lfg*. — Tzetzes in prooemio ad Hesiodi OD. p. 18 Gaisf. haec affert: *καὶ τῶν μὲν Ἔργων Ὀρφέως οὕτως ἐστὶν ἡ ἀρχή* (vide supra ad vs. 456). *αἱ δὲ Ἡμέραι ἤτοι αἱ Ἐφημερίδες αὐτοῦ ἄρχονται οὕτως 'πάντ' ἐδάης, Μουσαῖε θεοφραδές· εἰ δέ σ' ἀνώγει | θυμὸς ἐπωνυμίας Μήνης κατὰ μοῖραν ἀκοῦσαι, | ῥεῖά τοι ἐξερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν, | οἵην τάξιν ἔχοντα κυρεῖ· μάλα γὰρ χρέος ἐστὶν | ἴδμεναι, ὡς αὕτη παρέχει κλέος ἄντυγι μηνός.'* (tres priores versus in Chil. XII 149—151 recurrunt, ubi *κατὰ μοῖραν ἀεῖσαι* legitur. cfr. Hermann. Orph. p. 494. Lobeck. Aglaoph. p. 414.) 'haec ex eodem videntur Maximi decerpta esse carmine, dum adhuc integrum esset' Gaisford., quocum consentit B. Giseke l. l. p. 102 hos versus sub finem carminis a Maximo scriptos fuisse coniiciens. quorum nihil probo.

Conspectus praecipuorum codicis *L* vitiorum.

α pro *ε* 110 526. *ε* pro *α* 286 505.
α pro *ει* 419.
α pro *ι* 410 554 576. pro *σι* (140?) 234.
α pro *ο* 7. pro *οις* 234. *ο* pro *α* 121.
α pro *υ* 101 428. pro *συ* 93. *αὖ* pro *ἄρα* 25. *αὐον* pro *ἄκρον* 424.
αι pro *ε* 149 153 158 537 608. *καὶ* pro *κε(ν)* 107 209 470 551. *ε* pro *αι* 149 477 608. *κε(ν)* pro *καὶ* 108 334.
αι pro *η* 360. *καὶ* pro *μὴ* 287. *η* pro *αι* 82 319.
αι pro *ο* 544.
βρ pro *ρρ* 179.
γ' abundans 207. omissum 321.
γε pro *κε* 44. *κε* pro *γε* 43. *γε* pro *τε* 306 431.
δ abundans in *ἠδ'* 548. *ἠ* pro *ἠδ'* 515 532 (564?). *ἠὲ* pro *ἠδὲ* 553.
δ pro *θ* 225.
δ pro *λ* 576.
δέ pro *κε* 480. *δετ* pro *κεν* 150. *δέ* pro *τε* 10. *τε* pro *δέ* 3. *οὔτ'* pro *οὐδ'* 378.
ε abundans in *ἠὲ* 486. *ευ* pro *υ* 198. (vide *ει*.)
ε omissum (20) 576. *ἠ* pro *ἠέ* 63. *υ* pro *ευ* 373. (vide *ει*.)
ε pro *η* 362.

ε pro *ο* 355 580. *εφερ* pro *ορο* 523. *ε* pro *οι* 597. *ο* pro *ε* 95 184 267 483 497 534.

εἰ abundans 579.

ει pro *η* 13 557. *η* pro *ει* (7) 95 155 347 (422). *ἦν* pro *εἴ κ'* 422. pro *εἰ* 578.

ει pro *ι* (136) 155 162 180 198 217 (222) 291 312 376 438 461 476 529 (560?) 576 605. *ι* pro *ει* 43 102 108 224 286 294 327 457 466 479 491 538. *ιο* pro *ει* 482.

ειν pro *ων* 211. *ὡσ* pro *εἰ* 551.

ἐξ pro *εἰσ* 328.

ἐπὶ pro *περὶ* 237. *ἐπ'* pro *ὑπ'* 304.

εὐ pro *ἐυ* 56. *ἐυ* pro *εὐ* 357.

η abundans 496. omissum 438.

η pro *α* 213 224.

η pro *ι* 103 336 448 470 495. *λη* pro *μι* 77. *ησ* pro *ιν* 376. *ι* pro *η* 2 105 191 462. *ι* pro *η* 221 448.

η pro *οι* 267. *ηι* pro *οι* 26 342 412. *οι* pro *η* 337 340 348 370. *ο* pro *η* 420 603. *ο* pro *ην* 50. *ου* pro *ην* 587. *ουν* pro *ην* 69. *ουσ* pro *η* 301. *ουσα* pro *ησι* 554. *ρη* pro *λω* 117.

ϑ abundans 573.

ι abundans (70) 493 557 576. omissum 2 (19) 38 109 234 450 600. *ειην* pro *ιειαν* 213. *ιην* pro *ιειαν* 224.

ι mutum abundans 28 130 217 395. omissum: v. ad 2.

ι pro *ε* 215 579.

ι pro *ν* 600. *ἀεί* pro *ἄν* 107.

ι pro *υ* 55.

κ pro *π* 93. (*π* pro *κ* 296? v. praef.)

κ pro *χ* 117.

κ' abundans 61. *καὶ* abundans 234.

κε pro *τε* 17 589. *τε* pro *κε* 369. 571.

λλ pro *λ* 418 510.

μ abundans (52). *μμ* pro *μ* 98 321 351 416. *μ* omissum 489.

μὲν pro *κεν* 160.

μπ pro *πη* 179.

ν abundans 80 582. omissum 50 55 67 167 461 506 568 578.

ν *ἐφελκ.* abundans 4 18 61 96 169 174 195 226 238 243 297 307 345 347 420 489. omissum 17 239 432 591.

ν pro *γ* 17 255 603. (*νυ* pro *γε* 118?)

ν pro *κ* 11 (422).

ν pro *ρ* 370.

ν pro *σ* 582.

ν pro *υ* 324. *ου* pro *οεν* 503.

ο abundans 46 (184) 573. omissum 413.

ο pro *σ* 573. *οιο* pro *οισι* 315 499. *σιν* pro *οιο* 348.

ο pro *υ* 3. *πυ* pro *μο* 296.
ο pro *ω* 51 122 261 532 537. *ω* pro *ο* 169 192 194.
οισ pro *ων* 458 477. *ων* pro *ουσ'* 161. *οσ* pro *ῳ* 523. *ου* pro
ῳ 80. *ωι* pro *ο* 130. *ωι* pro *ον* 580.
οισ pro *οισιν* 526. *οισιν* pro *οισ* 86.
π abundans 117.
π pro *ν* 500.
π pro *φ* 448.
ϱ abundans 349.
σ abundans 162 (219) 301 327 526. *σ* pro *σσ* 112 162 218 376.
σ omissum 93 (140?) 168 234 (266) 379 516.
σ pro *ε* 346.
σ pro *τ* 585. *πϱὸς* pro *ποτὶ* 119. *δέ τε* pro *δ' ἐς* 127.
τ abundans 12 371 525. omissum 69 312.
τ pro *κ* 23.
τ pro *π* 557.
τ pro *φ* 314.
dittographia: *σ* (219) 526. *ου* 325. *ο* 573.
lacuna 93 212 330 385 463 521 566 605 606.
transmutatio litterarum 67 107 (296? v. praef.) 327 329 599.
" verborum 551 566.
" versuum 24 591 606 sq.

ΕΚ ΤΩΝ

ΑΜΜΩΝΟΣ ΚΑΤΑΡΧΩΝ.

Tzetzes in Allegoriis Iliadis

H 117 ἐν τροπικοῖς οἱ Ἕλληνες ἦσαν πυργοποιοῦντες.
125 ὅτι δ' εἰσὶν εὐέμπτωτα τὰ τροπικοῖς πραχθέντα,
πᾶς ἀστρολόγος ἐκβοᾷ καὶ Καταρχαῖς ὁ Ἄμμων.
M 4 ἐκτίσθη παρὰ γνώμην γὰρ θεῶν τῶν ἀθανάτων
εἰς κάκιστον θεμάτιον ἐν τροπικοῖς, ὡς εἶπον·
διὸ καὶ οὐ μακρόχρονον ἔμελλε πεφυκέναι.

Ad *H* 117 haec est Io. Fr. Boissonadii adnotatio 'Cramerus in Anecd. Oxon. t. III p. 382 ante scholium a se repertum quodque ipse reperi in C [i. e. cod. Parisin. 2644], versum habet imperfectum ἐν τροπικοῖς — καταρχῶν, lemma fortasse poematis unde sequentia sunt deprompta. in C [= *A*] post lineolas duas prorsus evanidas sequitur fragmentum poetae astrologi, Ammonis puto: ἐν τροπικοῖς κτἑ.' Maximo poetae hos versus male adiudicavit Cramer l. l. p. 419. eosdem 'ἐκ τῶν Ἄμμωνος Καταρχῶν' dedit P. Matranga Anecd. Gr. II p. 613.

Tzetzes in Exegesi Iliadis p. 33, 6 Herm. (765, 1 Bachm.) ἔτι δὲ ὁ μαθηματικός φησιν Ἄμμων ἐν ταῖς ἑαυτοῦ Καταρχαῖς· ἐν στερεοῖς ζῴοις κτἑ. atque ib. p. 54, 1 ἔτι δὲ οἱ μαθηματικοί, Ἄμμων καὶ Τίμαιος, Πτολεμαῖος, Παῦλος, Ἑκτόριος, Ἀννουβίων, Κολόκυνθος, Πρωταγόρας, Νικήρατος, Δωρόθεος καὶ λοιποὶ κτἑ.

Nescio an idem Ammon sit, cui famosus ille Hermes Trismegistus Ἰατρομαθηματικὰ sua dedicavit (πρὸς Ἄμμωνα Αἰγύπτιον) post laudabilem D. Hoeschelii laborem satis neglegenter tractata ab Iul. Lud. Idelero in Physicis et med. Gr. minor. I p. 387—396 coll. 430—440.

A i. e. codex Parisinus 2644.
*A*ᵇ idem codex teste Boissonadio,
*A*ᶜ „ „ teste Cramero.
B codex Bodleianus apud Cramerum.
C codex Matrangae (Vaticanus 904?).
D codex Lipsiensis Hermanni.
n Augustus Nauck in Mélanges Gréco-Romains t. IV 1 p. 167 sq.

I.

Ἐν τροπικοῖς οὔτ' ἂρ γαμέειν καλὸν οὔτε γάμοιο
μνηστείην ἐρατὴν τελέειν, οὐ κτήσιος ὠνήν·
μηδὲ δαημοσύνην τέχνης τινὸς ἄρχεο τῆμος.
εἰ δὲ καὶ ἄλλο τι πρᾶγμα θέλεις μίμνειν ἐπὶ δηρόν,
μὴ σύγε τοῦτ' ἔρξῃς τροπικοῖς Μήνης ἐνεούσης·
πάντα γὰρ ἐν τροπικοῖσι παλίντροπα ἐκτελέθουσι,
καὶ χρησμοὶ καὶ ὄνειροι ψεύδοντ' ἐν τροπικοῖσι.
ῥηιδίως δ' ὁ λαβὼν καὶ ἀσπασίως ἀποτίσει.
πλώειν δ' εἰς ξείνην καὶ ὁδεύειν ἣν ἐθέλῃσθα,
ἐν τροπικοῖς κέλομαι· νόστος δέ τοι ἔσσεται ὠκύς,
καὶ εἰς οἶκον ἴθι τῆμος ξείνης ἀπὸ γαίης.

Versus 1—14 servati sunt in *ABC*. — 1 *αὖ ABC*, *ἂρ n.* — 2 *μνησθείῃν AB*, *ὥραν μνησθείῃν* Boissonade. — *ἐρατεινὴν AB*. — 'al. *οὐκ ἐτήσιος*' Matranga. — *ὠνήν* A^{b}*BC*, *ἣν* A^{c}. — 3 *μήτε ABC*, *μηδὲ n.* — 4 *ἄλλό τι* A^{c}*BC*. — *πρῆγμα n.* — *ἐπιδηρὸν* A^{c}. — 5 *ἔρξεις AC*, *ἕξεις B*, em. *n.* — 6 *παλίντονα ABC*, em. *n.* — *ἐκτελέουσι ABC*, *ἐκτελέθουσι* coni. *n.* — 7 *ψεύδοντ'* in suspicionem vocavit *n.* — 8 *δ'* om. *ABC*, inseruit *n.* — *λαβών τι καὶ n.* — *ἀποδώσει n.* — 9 *εἰ δὲ ξένην πλώῃν A*, *εἰ δὲ ξένην πλοίῃν B*, *εἰ δὲ ξένην πλώειν C*, 'melius foret *εἰ δὲ ξείνην πλεῖν*' ac paulo post 'fortasse *εἰ δὲ ξείνῃ πλεὶν*' Boissonade, *εἰς ξείνην δὲ πλέειν n*, praetuli *πλώειν δ' εἰς ξείνῃν*. — *ὁδευέμεν n.* — *ἣν ἐθέλησθα ABC*, *γῆν ἐθέλησθα* Boissonade, corr. *n.* — 10 *νοῦσος ABC*, 'est *νόστος* coniectura Duebneri, confirmata versibus Ammonis a Tzetza citatis Exegesi p. 33' Boissonade. — *δέ σοι C.* — 11 *καὶ εἰς οἶκον ἴθη B*, *ἣν εἰς οἶκον ἴῃς n.* — *ξένης AB.* —

ἢν δὲ φύγῃ θεράπων κακομήχανος ἐν τροπικοῖσιν,
ἂψ εἰς οἶκον ἄνακτος ἐλεύσεται οὐδ' ὑπαλύξει·
κλέψας δ' ἐν τροπικοῖσιν ἁλίσκεται οὐδέ τε λήσει.

II.

Ἐν στερεοῖς ζῴοις ξείνην εἰς γαῖαν ἐπειχθεὶς
δηρὸν ἐκεῖ μενέεις, καί τοι νόστος βραδύς ἐστιν.
ἀρξαμένη δὲ νόσος στερεοῖς κακή· οὐδὲ γὰρ ὦκα
παύεται, ἀλλὰ μένει τε νόσος καὶ πολλάκις ἄνδρας
ὤλεσεν, εἰ μή τις Μήνην θεὸς εἴσιδεν ἐσθλός.

---

12 ἦν A^b. — 13 ἄψ *C*. — 14 ‘κλέκτες *A*. sic, ut videtur a pr. m.; deinde κλέψης vel κλέψτις, litura enim magna in quinta littera’ Cramer. — ἁλώσεται *n*.

Versus 15—19 exstant in *D*. — 15 ‘Loquitur Ammon de solidis signis, στερεοῖς, quae sunt τροπικοῖς contraria; quam adiectivi στερεὸς significationem in lexicis non reperio, nisi innuatur ab Hesychio loco mendoso: στερεαί τινες τῶν δικαστικῶν ψήφων, ἄλλοι δὲ ἀστέρας. vide Dorvill. ad Charit.’ Boissonade, qui conferri iubet Manethon. VI 359 et 360. — 16 βραδὺς ἔσται *n*. — 18 μένει τε νόσος in suspicionem vocavit *n*. — 19 μῆνιν *D*, μήνην coni. *n*.

INDEX VERBORUM.

Numeris nude positis Maximum, littera *A* Ammonem indicari volui. Asteriscus * numero affixus vocem designat coniectura restitutam.

ANECDOTA ASTROLOGICA.

I. *Μαξίμου περὶ καταρχῶν μεταφρασθὲν πεζῇ λέξει ἐκ τῶν ἡρωικῶν μέτρων.*
II. *Ὑποθέσεις τῶν Μανέθωνος Ἀποτελεσματικῶν.*
III. *Περὶ ἐνεργείας τῶν ιβ′ ζῳδίων.*
IV. *Περὶ ἀποτελεσμάτων τῶν ιβ′ ζῳδίων.*
V. *Αἵ χῶραι συνοικειούμεναι τοῖς ιβ′ ζῳδίοις.*
VI. *Τί σημαίνει ἕκαστον τῶν ζῳδίων καὶ τῶν ἀστέρων καὶ τίνων δεσπόζουσιν.*
VII. *Περὶ τῶν ἐν ταῖς ἐκλείψεσι σημείων.*

L i. e. codex Laurentianus XXVIII 27.
l correctoris manus recentior eiusdem codicis.
M codex Laurentianus XXVIII 34.
d Fridericus Duebner in epistola ad Arminium Koechly data idib. Ianuar. a. 1851.
g Iacobi Gronovii editio Apotelesmaticorum Manethonis (Lugduni Batav. 1698).
a Mauritii Axtii et Antonii Rigleri editio Apotelesmaticorum Manethonis (Coloniae 1832).
k Arminii Koechly editio altera Apotelesmaticorum Manethonis (Lipsiae 1858).

I.

Μαξίμου περὶ καταρχῶν μεταφρασθὲν πεζῇ λέξει ἐκ τῶν ἡρωικῶν μέτρων.

Εἰ δ' ἄγε μοι κούρη Πιμπληϊὰς ἔννεπε Μοῦσα
Μήνην ἱερόφοιτον, ὅπως ἄνδρεσσιν ἕκαστα
σημαίνει σκολιωπὸν ἐπιστείχουσα κέλευθον.

I. Περὶ γενέσεως.

Πῶς ὁ τεχθεὶς ἄνθρωπος αὐξιφωτούσης τῆς Σελήνης ἔμπρακτος ἔσται καὶ κατορθωτικὸς ὧν μεταχειρίζεται πάντων; ἐὰν παρατηρῆται ἐν ταῖς καταρχαῖς τῶν ἑαυτοῦ ἔργων τὴν Σελήνην συνοδεύουσαν ἤτοι τῷ Διὶ ἢ τῇ Ἀφροδίτῃ ἢ τῷ Ἑρμῇ· ἐὰν δὲ συνοδεύῃ

---

1 Fol. 164 *M*. — 4 Hos versus ipsius esse Maximi et initium carminis iam supra monitum. — 5 *ἱεροφοιτον M*, corr. *d*. — *ἄνδρεσιν ἕκαστα M*, corr. anon. Ien. p. 250. — 6 *ἐπιστιχουσα M*, corr. anon. Ien. l. l. — 7 Titulum ego addidi. — 8 *Σελήνης*: cum Duebnero nomina signorum ubique posui pro siglis astrologicis, quibus scriba codicis *M* utebatur. sunt autem haec: *Σελήνη*, *Ἥλιος*, *Ἑρμῆς*, *Ἀφροδίτη*, *Ἄρης*, *Ζεύς*, *Κρόνος*, *Κριός*, *Ταῦρος*, *Δίδυμοι*, *Καρκίνος*, *Λέων*, *Παρθένος*, *Ζυγός*, *Σκορπίος*, *Τοξίτης*, *Αἰγόκερως*, *Ὑδροχόος*, *Ἰχθύες*. praeterea siglis exprimere solebat vocabula *διάμετρος*, *τρίγωνος*, *τετράγωνος* ac nonnunquam *ζῴδιον*, *ἡμέρα*, *μοῖρα*, *δοῦλος*. — 12 *ἀνοδεύη M*, corr. *d*. —

ἡ Σελήνη τῷ Κρόνῳ ἢ τῷ Ἄρει, μὴ καταρχέσθω ἔργου· ἀπραξία γὰρ καὶ βλάβη ἐπακολουθήσει.

ἡ Σελήνη ἀποκαταστατικὴ καὶ ἀνταποκαταστατικὴ καὶ εἰς τὰ ἑαυτῆς τετράγωνα τὰ κατὰ γένεσιν ἐλθοῦσα ἄπρακτος καὶ ἐπιβλαβὴς γίνεται.

ἐάν τινος γένεσιν θεάσῃ καὶ βούλῃ αἰτήσασθαι παρ' ἐκείνου χάριν, σκεψάμενος τὴν Σελήνην αὐτοῦ ἀνταποκαταστατικὴν οὖσαν, τοῦτ' ἔστιν ἑαυτῇ διαμετρήσασαν, αἴτησαι τὴν χάριν, καὶ οὐ μὴ ἀστοχήσῃς τῆς αἰτήσεως.

II. *Περὶ κτήσεως δούλων.*

Σελήνης ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις, Διδύμοις, Παρθένῳ, Ζυγῷ, Τοξότῃ, Ὑδροχόῳ, οὔσης ἐὰν βούλῃ διακόνους εἰς τὸ ἴδιον δῶμά σου ἀγοράζειν, ἀγαθὸν καὶ ἔμπρακτον καὶ ἐπικερδές.

Σελήνης [ἐν τῷ] Ζυγῷ [ἢ ἐν τῷ] Σκορπίῳ οὔσης γεωργὸν δοῦλον ἀγόραζε.

Σελήνης οὔσης [ἐν τῷ] Κριῷ [ἢ ἐν τῷ] Λέοντι [ἢ ἐν τῷ] Τοξότῃ ταῖς ἐσχάταις μοίραις καὶ [ἐν τῷ] Αἰγόκερῳ ταῖς πρώταις ποιμένα ἀγόραζε.

Σελήνης οὔσης [ἐν τοῖς] Ἰχθύσιν [ἢ ἐν τῷ] Ὑδροχόῳ [ἢ ἐν τῷ] Καρκινῳ [ἢ ἐν τῷ] Αἰγόκερῳ

---

2 *ἐπακολουθεῖ* *d*. — 3 ἢ *M*, ἡ *d*. — 8 *τοῦτέστιν* *M* i. e. quod ego scripsi *τοῦτ' ἔστιν* (*τουτέστιν* *d*). idem exaravit ex. gr. *μεθύδατος*, *καθεαυτήν*, *παρεκείνου*. — *ἑαυτὴν* *M*, corr. *d*.

12 *Σελήνης*: et hoc loco et omnibus similibus articulum addidit *d*. — *τοῖς* om. *d*. — 14 *σώμα σου* sic *M*, quod correxi. — 16 *ἐν τῷ* et alia quae uncis [ ] inclusi add. *d*, om. *M* qui iis omnibus locis sola sigla astrologica posuit. — 20 De forma *Αἰγόκερῳ* (*Αἰγοκέρωτι* *d* ubique) infra dicetur. —

ταῖς ἐσχάταις μοίραις ναύτην δοῦλον καὶ ἁλιέα καὶ τὸν τοὺς χιτῶνας πλύνοντα ἀγόραζε, καὶ ἁπλῶς τὸν μεθ' ὕδατος ἐργαζόμενον.

Σελήνης [ἐν τῷ] Κριῷ οὔσης κναφεῖς δούλους καὶ ὑφάντας ἀγόραζε.

Σελήνης [ἐν τῇ] Παρθένῳ οὔσης σιτοποιοὺς καὶ ἀρτοκόπους δούλους ἀγόραζε.

Σελήνης [ἐν τῷ] Ταύρῳ οὔσης μαγείρους δούλους ἀγόραζε.

Σελήνης [ἐν τῷ] Ζυγῷ [ἢ ἐν τοῖς] Διδύμοις οὔσης καπήλους δούλους καὶ ἐμπόρους ἀγόραζε.

III. Περὶ πλοῦ καὶ ἐμπορίας.

Σελήνης ἐν τοῖς ἀνθρωποειδέσιν οὔσης ζῳδίοις μετὰ ἀγαθοποιοῦ Διὸς ἢ Ἀφροδίτης ἢ Ἑρμοῦ, ἐμπορεύου, ἀγόραζε, πόρθμευε, ὁδοῦ καὶ πλοῦ κατάρχου.

Σελήνης ἐν τοῖς καθύγροις ζῳδίοις οὔσης, Καρκίνῳ, Αἰγόκερῳ, Ἰχθύσιν, ἀκακώτου, τὴν σὴν ναῦν πληρώσας τῶν ἀγωγίμων φόρτων καὶ χρημάτων, κατάρχου τῆς ἐμπορίας· ὁ γὰρ πλοῦς ἀγαθὸς γίνεται, καὶ ἐπικερδὴς ὁ φόρτος.

Σελήνης οὔσης μετὰ Κρόνου ἢ μετὰ Ἄρεως

---

4 γναφεῖς d. — 6 Παρθένῳ ego, Αἰγοκέρωτι d cum hac nota 'hoc signum super alio eraso neglegenter exaratum dubium est sitne huius an Παρθένου.' certe similius signo Παρθένου. — 8 μαγήρους M, corr. d.

13 ἀνθρωπόμορφα· Δίδυμοι, Παρθένος, Ζυγός, Τοξότης, Ὑδροχόος. κάθυγρα· Καρκίνος, Ἰχθύες M in marg. — 18 Αἰγοκέρωτι 'sic' d, sed etiam hoc loco codex nihil aliud habet nisi signum astrologicum. de forma nominis infra p. 89, 10 dixi. — 19 ναῦ M, corr. d.

μὴ κατάρξῃ πλοῦ μήτε φόρτου μήτε ἐμπορίας· ἀλλ' ὅμως ἐπιβλαβέστερος ὁ Κρόνος τοῖς ναυτίλοις ἤπερ ὁ Ἄρης· ὁ μὲν γὰρ Ἄρης πολλάκις ῥύεται τοὺς ναύτας ἐκ τοῦ τῆς θαλάσσης κινδύνου· ὁ δὲ Κρόνος χαλεπώτατος μάλιστα τοῖς ναύταις γίνεται.

IV. Περὶ ὁδοιπορίας.

Σελήνης Κριῷ· ὁ ἀποδημήσας ταχέως ὑποστρέψει.

Σελήνης Ταύρῳ· ὁ ἀποδημήσας ἀβλαβῶς καὶ μετὰ κέρδους ὑποστρέψει.

Σελήνης Διδύμοις· ὁ ἀποδημήσας ἐπὶ πολὺν χρόνον ἐν τῇ ξένῃ διατρίψει.

Σελήνης Καρκίνῳ· ὁ ἀποδημήσας χρονίσει μὲν ἐν τῇ ξένῃ, χαίρων δὲ καὶ ἐνδόξως ὑποστρέψει πράξας εὐτυχῶς.

Σελήνης Λέοντι· ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ οὐ δεῖ ἀποδημεῖν· βλάβαι γὰρ καὶ φόβοι ἐξ ἀνδρῶν κακῶν ὑπαντήσουσιν· ἐν δὲ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν μὲν

---

6 ὁδοιπορίας: hic terminatur codicis M fol. ρξδ'; duo insequentia folia hodie sunt ρξς' et ρξε' a glutinatore in falsum ordinem redacta. — 7 Incipit fol. ρξε'. — τῆς σελήνης ἐν τῷ Κριῷ οὔσης et similiter infra passim dedit d, quod unoquoque loco commemorare supersedeo. M nihil habet nisi signa astrologica eaque sine dubio ita intellegenda sunt, ut d voluit. attamen nihil adiicere satius duxi. — 11 ξενῇ M, voluitne quamvis minus recte ξενιτείᾳ? — 12 ξενίσει M, 'haud dubie corrigendum χρονίσει' d. cfr. p. 83, 3. — 17 ἐν δὲ τῇ δευτέρα ἡμέρα ἐν μὲν λέοντι κτἑ. M. ab hac sententia incipit carminis fragmentum; 'sed infauste accidit ut hoc loco et poetae verba et paraphrasis sint corrupta … putabam scriptum fuisse ἐν δὲ τῇ δευτέρᾳ ἡμέρᾳ εὐμενεστέρᾳ οὔσῃ ὁ ἀποδημήσας etc. (quod poetae est ἀγανωτέρῃ οἶμος), illud autem εὐμενεστέρᾳ οὐ depravatum in ἐν μὲν ἑσπέρᾳ οὐ produxisse duplicem sententiae restituendae conatum: οὐ [δεῖ ἀποδημεῖν], et (propter ἑσπέρᾳ) ἔτι δὲ ἡμέρας

νυκτὶ οὐ δεῖ ἀποδημεῖν· ἔτι δὲ ἡμέρας οὔσης ὁ ἀποδημήσας [*οὐ*] *πάνυ βλάπτεται* (vs. 1—7).

Σελήνης Παρθένῳ· ὁ ἀποδημήσας χρονίσει μὲν ἐν τῇ ξένῃ, ἀβλαβῶς δὲ ὑποστρέψει (8—10).

Σελήνης Ζυγῷ· ὁ ἀποδημήσας εἰ μὲν ἐπὶ δικαίᾳ προαιρέσει, συμφέρει· εἰ δὲ ἐπὶ ἀδίκῳ, οὐ συμφέρει (11—17).

Σελήνης Σκορπίῳ· ὁ ἀποδημήσας ὠφεληθήσεται καὶ κερδήσει ἐν τῇ ξένῃ· ὁ δὲ ἀρξάμενος ὑποστρέφειν οἴκαδε, ὠφεληθήσεται καὶ ταχέως τὴν ὁδὸν ἀνύσει, λαθραίως καὶ μετὰ σιγῆς ὑποστρέφων (18—24).

Σελήνης Τοξότῃ· ὁ ἀποδημήσας μακρὰν ὁδὸν ἀνύσει καὶ πολὺν χρόνον διατρίψει βραδύνων ἐν τῇ ξένῃ· ὁ δὲ ἀρξάμενος ὑποστρέφειν Σελήνης Τοξότῃ οὔσης χαίρων ταχέως ἥξει (25—34).

Σελήνης Αἰγόκερῳ· οὐ δεῖ ἀποδημεῖν· καὶ γὰρ ἡ ὁδὸς μακρὰ καὶ ἄπρακτος ἡ ὁρμὴ γίνεται καὶ λυπηρά. ὁ δὲ ἀρξάμενος ὑποστρέφειν Σελήνης οὔσης Αἰγόκερῳ πραεῖαν καὶ ἀβλαβῆ τὴν ὁδὸν ἕξει (35—41).

οὔσης. librarius post *ἐν μὲν* zodiaci signum pro vocabulo posuerit, quia plus centies in hac paraphrasi praepositionem *ἐν* siglum astrol. excipit loco nominis' *d*. illud 'plus centies' satis refutabit haec mea editio. locum corruptum lenius emendasse mihi videor. — 1 *νυκτὶ* ego, *λέοντι d*: 'super siglo astrol. Leonis spir. lenis ⊣ positus' *d*. erravit de spiritu, nam in codice est signum ·:· quo scriba corruptelam videtur indicasse. neque coniecturam Duebneri supra transscriptam probare possum. immo pro siglo Leonis 9 scribendum fuisse noctis siglum 9 certissimum est (vocabulum *ἡμέρα* paullo ante hoc signo 6 expressum). itaque *ἐν μὲν νυκτὶ* restitui pro *ἐν μὲν Λέοντι* et infra *οὐ* inserui. alii fortasse praeferent *ὁ ἀποδημήσας σπανίως βλάπτεται*. cfr. poetae verba. — 3 *χροισει M*, verum indicavit *d*. —

Σελήνης Ὑδροχόῳ· ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ οὐ δεῖ ἀποδημεῖν, ἐν δὲ τῇ δευτέρᾳ δεῖ, ὠφέλιμον γάρ (42—44).

Σελήνης Ἰχθύσιν· ἐπὶ στρατιὰν καὶ ἐπὶ πόλεμον καὶ ἐπὶ κυνηγεσίαν καὶ ἐπὶ ἁλιείαν δεῖ ἀποδημεῖν· ἔμπρακτον γὰρ γίνεται (45—48).

Σελήνη ὑπὸ ἀγαθοποιῶν μαρτυρουμένη τετράγωνος ἢ τρίγωνος ἢ διάμετρος καλὴν τὴν ἀποδημίαν σημαίνει· ὑπὸ δὲ *κακοποιῶν* μαρτυρηθεῖσα τετράγωνος ἢ τρίγωνος ἢ διάμετρος κακήν (49—58).

V. *Περὶ γάμου.*

Σελήνης Τοξότῃ, Ἰχθύσιν, Ὑδροχόῳ· ὁ γήμας

---

5 *κυνηγεσίῳ* et *ἁλιείᾳ M.* — 7 *τετράγωνος*: 'sic, cetera siglis' *d.* immo ne illud quidem litteris expressit, sed siglo: quadrangulae figurae littera o est superimposita, quae plerumque syllabam finalem ος significat. — 8 *τρίγωνος* hic et infra dedi, *τρίπλευρος d*; in *M* est figura triangula. — *καλὴν M*, non *κακὴν* (errat *d*). — *ἀποδημίαν M*, *ὁδοιπορίαν d* nescio qua de causa. — 9 *σημαίνειν M*, corr. *d.*

11 Titulus in margine *M* repetitur a man. rec. — Cramer Anecd. Oxon. III p. 157 sqq. ex codice Barocciano 131 (saec. XIV ineunt.) edidit 'anonymi cuiusdam Byzantini grammatici epistolas, qui Alexio Comneno regnante floruisse videtur, ut ex epistola ad imperatorem illum patet'. in undevicesima epistola haec sunt, quae ad Maximum nostrum spectant (pag. 185 sq.): *ἁπλούστερον δὲ περὶ τούτων εἰδὼς τὸν περὶ καταρχῶν συγγραψάμενον Μάξιμον, ἡρῴῳ μέτρῳ τὴν πραγματείαν αὐτοῦ κοσμήσαντα, τούτῳ χρῶμαι πρὸς τὴν τῶν ἠρωτημένων κατάλυσιν, ὀλίγα τῶν αὐτοῦ συνοψήσας, ἵνα μὴ παρὰ τοῦ δέοντος ἀστρονομοίην· φησὶ τοίνυν οὗτος ὁ ἀνήρ, ἵνα διαλύσω τὸ μέτρον εἰς λόγον πεζόν, Σελήνης πορευομένης Κριὸν ἢ καὶ Ταῦρον — ἀπὸ γὰρ τῶν ταύτης δρόμων τὰς προστελέσεις τῶν γάμων λαμβάνει —, χαλεπὸν εἶναι καὶ ἀσύμφορον γυναῖκα λαβεῖν· ἀποστρόφους γὰρ καὶ* ('*καὶ* om. cod.') *ἀστόργους τοὺς γάμους ἐργάζεται. τὰς δὲ αἰτίας ἐν ἄλλῳ καιρῷ πυνθάνου μου. ἐν δὲ Διδύμοις οὔσης, κατὰ μὲν τὴν πρώτην ἡμέραν μοιχείας*

ὠφεληθήσεται· ἔσται γὰρ ἡ γυνὴ πραεῖα καὶ φρονίμη (59—71).

Σελήνης Κριῷ· ὁ γήμας βλαβήσεται· ἔσται γὰρ ἡ γυνὴ ἀκατάστατος, παλίμβουλος, ἄστοργος, τὸν ἄνδρα καταλείπουσα (72—81).

Σελήνης Ταύρῳ· ὁ γήμας βλαβήσεται· ἔσται γὰρ ἡ γυνὴ μοιχαλίς, πολύκοινος, ῥυπαρά (82—95).

Σελήνης Διδύμοις· ὁ γήμας ἐν τῇ β΄ ἡμέρᾳ χαρήσεται· ἔσται γὰρ ἡ γυνὴ οἰκουρός (96—98).

Σελήνης Καρκίνῳ· οὐ δεῖ γαμεῖν· ἡ γὰρ γυνὴ ταχέως τὸν ἄνδρα καταλείψει ὑβρίζουσα (99—101).

ἀποτελεῖσθαι καὶ ῥυπαρῶν πόθων ἐπιμιξίας· εἰς δὲ δευτέραν ἡμέραν ὁ γάμος ἀρυπαρώτερος. Καρκίνον δὲ ἢ Λέοντα μεταπορευομένης Σελήνης, μαχίμους καὶ λάλους καὶ ἀκαθέκτους εἰς ὀργὴν ἀποτελεῖ τὰς γυναῖκας, καὶ αὐτὸ τοῦτο ἀντιανείρας καθ' Ὅμηρον, τουτέστιν ὁμόσε τοῖς ἀνδράσι χωρούσας εἰς μάχην. Παρθένον δὲ ἐπικαταλαβοῦσαν (l. -λαβοῦσα) πρὸς μὲν τὰς παρθένους ἀσύμφορος, ὥσπερ ἀντιπεπονθότος τοῦ ζῳδίου τούτου τοῖς ὁμωνύμοις παρθένοις· πρὸς δὲ χήρας εὐδαιμονέστερον τὸν γάμον εἶναί φησιν. Ζυγὸς δὲ τὴν Σελήνην δεξάμενος ταῖς μὲν τὸν τῆς δουλείας ἐχούσαις ζυγὸν εὐροώτερον τὸν γάμον· ταῖς ἐλευθέραις δὲ δυσμενής ἐστι καὶ πολέμιος. Σκορπίον (l. -πίος) δέ γε τὴν μὲν πρώτην ἡμέραν τῆς Σελήνης ἐπαινεῖ· τὴν δὲ δευτέραν ἀποδούλων (l. ἀπὸ δούλων) εἶναι μαντεύεται. Αἰγόκερως δὲ πρώτῳ γάμῳ ἄγει λύπας καὶ πήματα λυπηρά, ἵν' εἴποιμι τὸ τοῦ ἔπους ἀκροτελεύτιον· εὐδαιμονεστέρους δὲ τοὺς δευτερογαμοῦντας ποιεῖ. τὰ δ' ἐπίλοιπα τρία ζῴδια, Τοξότης, Ὑδροχόος, Ἰχθύες, ἡδεῖς μὲν τοὺς γάμους καὶ εὐτυχεστάτους ὡς ἐπίπαν· σωφρονεστάτας δὲ τὰς γαμετὰς καὶ φιλοστόργους καὶ φιλάνδρους παρέχονται, ὅταν ἡ Σελήνη τούτοις ἐπιδημήσει. πονηροτάτας μέντοι τὰς συνόδους καὶ τὰς κατὰ διάμετρον ἀποστάσεις Ἡλίου τε καὶ Σελήνης οἱ ἀστρονόμοι καταλαμβάνουσι πρὸς τὰ συνοικέσια, καὶ φεύγειν παρακελεύουσι τοιούτους σχηματισμούς. ἀλλὰ ταῦτα μὲν ἴσως δῆλα τοῖς τὰς ἐφημερίδας τοῖς κόλποις ἔχουσιν, οἷς καὶ τὸν Ἥλιον ἔξεστι τῷ ἀστρολάβῳ μετεωρίζειν καὶ τὰς ἐποχὰς τῶν ἀστέρων λαβεῖν. — 1 ὀφεληθήσεται M. — 3 γὰρ om. d. — 5 καταλειποῦσα M. — 7 μυχαλὶς M. — 11 καταλείψη M. —

Σελήνης Λέοντι· οὐ δεῖ γαμεῖν· ἔσται γὰρ ἡ γυνὴ ὑπερήφανος, ὀργιζομένη τὸν ἄνδρα, ἀναιδής, μήτε λόγῳ μήτε ἔργῳ πειθομένη τῷ ἀνδρί, ἀλλὰ λοιδοροῦσα καὶ ὀνειδίζουσα αὐτόν, πολλάκις δὲ καὶ τύπτουσα αὐτὸν καὶ τῶν τριχῶν αὐτοῦ δρασσομένη (102—112).

Σελήνης Παρθένῳ· χήραν γῆμαι δεῖ, παρθένον δὲ οὐ δεῖ (113—117).

Σελήνης Ζυγῷ οὔσης· ἐλευθέραν μὲν οὐ δεῖ γῆμαι, ἀλλὰ δούλην παλλακίδα μᾶλλον δεῖ· καὶ γὰρ ὁ Ζυγὸς μοιχείαν ἐπιφέρει· καὶ διὰ τοῦτο εὐαπάλλακτος μὲν γίνεται ἡ παλλακίς, δυσαπάλλακτος δὲ ἡ ἐλευθέρα, ὡς τὸ εἰκός (118—122).

Σελήνης Σκορπίῳ· ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ παρθένον δεῖ γῆμαι· ἔσται γὰρ πραεῖα καὶ φρονίμη. ἐν δὲ τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ ἡμέρᾳ οὐ δεῖ γῆμαι ὅλως· μοιχευθήσεται γὰρ καὶ ὑπὸ δούλων ἡ γυνή (123—128).

Σελήνης Αἰγόκερῳ· τὸν πρωτόγαμον ἄνδρα οὐ δεῖ γῆμαι, τὸν δὲ δευτερογαμοῦντα δεῖ, καὶ μάλιστα ἐὰν ᾖ γυνὴ χήρα (129—132).

Σελήνης συνοδευούσης Ἡλίῳ ἢ *πανσεληνιαζούσης* οὐ δεῖ γῆμαι (133—135).

Σελήνη μετὰ ἀγαθοποιῶν Διὸς ἢ *Ἀφροδίτης* ἢ *Ἑρμοῦ* ἀγαθὸν καὶ ὠφέλιμον ποιεῖ τὸν γάμον (136—140).

---

9 μὲν om. *d*. — 12 παλλακης *M*, corr. *d*. — 21 ῆ i. e. ᾖ *M*, ἡ *d*.

VI. *Περὶ νόσων.*

Σελήνης Κριῷ· ὁ κατακλιθεὶς οὐ τελευτήσει, ἀλλ' ἀκινδύνως σωθήσεται, πλὴν τοῖς κεφαλαλγικοῖς ἀπαίσιος ὁ Κριός. εἰ δὲ γυνὴ μέλλοι ἐκτιτρώσκειν, ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ κίνδυνος ἐπακολουθήσει θανατώδης, ἐν δὲ τῇ β' ἀκινδύνως ἀπαλλαγεῖσα σωθήσεται (141—161).

Σελήνης Ταύρῳ· ὁ κατακλιθεὶς πάρεσιν ὑπομείνας καὶ παρακόψας σωθήσεται ταχέως. εἰ δὲ περὶ τὸν τράχηλον συναγχικὸν πάθος ᾖ, ὀλέθριον γίνεται. εἰ δὲ γυνὴ ἐκτιτρώσκοι, ἐν μὲν τῇ α' ἡμέρᾳ τοῦ Ταύρου κινδυνεύσει εἰς θάνατον, ἐν δὲ τῇ β' ἐλαφρότερον τὸ κακόν (162—174).

Σελήνης Διδύμοις· ἐν μὲν τῇ α' ἡμέρᾳ ὁ κατακλιθεὶς χρονίως ταλαιπωρήσει τῇ νόσῳ, ἐν δὲ τῇ β' εἴσω γ' ἡμερῶν ῥαΐσει. οἱ δὲ ἰσχιαδικοὶ ἢ οἱ τὰ νεῦρα ἀλγοῦντες ἐπισφαλῶς νοσήσουσιν. ἡ δὲ ἐκτιτρώσκουσα γυνὴ τελευτήσει, εἰ μή τις ἀστὴρ ἀγαθοποιὸς τῇ Σελήνῃ μαρτυρήσειεν (175—189).

Σελήνης Καρκίνῳ· ὁ κατακλιθεὶς ἀβλαβῶς ἀπαλλάξει καὶ ταχέως, πλὴν οἱ τὸ στῆθος ἀλγοῦντες ἢ τοὺς πόδας πληγέντες· ἐπικινδύνως γὰρ ἕξουσιν. ἡ δὲ ἐκτιτρώσκουσα γυνὴ καλῶς ἀπαλλάξει (190—199).

Σελήνης Λέοντι· σφαλερὸν τὸ κατάρξασθαι νόσου· δεῖ οὖν κενῶσαι τὴν γαστέρα ταχέως. ταῖς δὲ ἐκτιτρωσκούσαις γυναιξὶν ἐπισφαλέστατον καὶ κινδυνῶδες (200—207).

---

1 Titulum in margine *M* repetit man. rec. — 8 πάρεστιν *M*, corr. *d*. — 9 τὸν om. *d*. —

Σελήνης Παρθένῳ· ἡ νόσος χρονία μέν, ἀλλ' ἐλαφρὰ καὶ ἀκίνδυνος, πλὴν στομαχικοῖς καὶ πλευριτικοῖς καὶ αἱμορροϊκοῖς οὐκ ἀκίνδυνος. ἡ δὲ ἐκτιτρώσκουσα γυνὴ ἐπισφαλῶς ἕξει καὶ ἐπικινδύνως, ἡ δὲ τίκτουσα εὐτοκήσει (208—219).

Σελήνης Ζυγῷ· ὁ κατακλιθεὶς ἢ ταχέως σωθήσεται ἢ τελευτήσει, ἐὰν χρονία γένηται ἡ νόσος. ἡ δ' ἐκτιτρώσκουσα γυνὴ τελευτήσει (220—228).

Σελήνης Σκορπίῳ· ὁ κατακλιθεὶς ἐν μὲν τῇ α' ἡμέρᾳ ἀβλαβῶς ἀπαλλάξει, ἐν δὲ τῇ δευτέρᾳ ἐπικινδύνως νοσήσει (229—231).

Σελήνης Τοξότῃ· ὁ κατακλιθεὶς καὶ εὐφόρως νοσήσει καὶ ἐλαφρῶς καὶ ἀκινδύνως, καὶ ταχέως σωθεὶς ἐγερθήσεται (232—234).

Σελήνης Αἰγόκερῳ· ὁ κατακλιθεὶς ταχέως ὑγιανεῖ, πλὴν οἱ πλευριτικοὶ καὶ ἰσχιαδικοὶ χρονίσουσιν. ἡ δὲ ἐκτιτρώσκουσα γυνὴ ἐν μὲν τῇ α' ἡμέρᾳ ἀκινδύνως ἀπαλλάξει, ἐν δὲ τῇ β' ἡμέρᾳ ἐπικινδύνως (235—245).

Σελήνης Ὑδροχόῳ· αἱ μὲν ἄλλαι νόσοι ἀβλαβεῖς γίνονται, μόνος δὲ ὁ ὕδερος ἐπισφαλής. ἡ δὲ ἐκτιτρώσκουσα γυνὴ ἐν μὲν τῇ α' ἡμέρᾳ κινδυνεύσει χαλεπῶς, ἐν δὲ τῇ β' ἡμέρᾳ ἀβλαβῶς ἀπαλλάξει (246—254).

Σελήνης Ἰχθύσιν· αἱ μὲν ἄλλαι νόσοι εὐαπάλλακτοι γίνονται, αἱ δὲ κοιλιακαὶ καὶ αἱ ποδαγρικαὶ ἐπισφαλεῖς καθίστανται (255—259).

---

9 ὁ *κατακλιθεὶς*: his verbis terminatur codicis *M* folium ρξε', quod falso nunc excipit folium ρξζ'. — 25 *εὐαπάλακτοι M.* —

Σελήνη μετὰ Διὸς ἢ Ἀφροδίτης ἢ Ἑρμοῦ καὶ ἐπικουφίζει τὰς νόσους καὶ ταχείας τὰς ἰάσεις ἐπιφέρει, μετὰ δὲ Κρόνου ἢ Ἄρεως καὶ ἐπιτείνει τὰς νόσους καὶ βραδείας τὰς ἀναλήψεις ποιεῖται (260—269).

Σελήνη μετὰ οἱουδήποτε τῶν ε′ πλανωμένων βλάπτει τὰς ἐκτιτρωσκούσας γυναῖκας· διὸ ἄμεινον ἐν τοῖς τοιούτοις ἄνευ ἀστέρος εἶναι τὴν Σελήνην καθ᾽ αὑτήν (270—275).

VII. *Περὶ τομῆς καὶ χειρουργίας.*

Ὁ ὡροσκόπος ἢ ἡ Σελήνη ἐν Ταύρῳ ἢ Αἰγόκερῳ ἢ ἐν Παρθένῳ βλάπτουσι τοὺς χειρουργουμένους· διὸ ἄμεινον τότε ἡσυχίαν ἔχειν μηδὲ χειρουργεῖν (276—292).

Σελήνης ἐν τοῖς τροπικοῖς ζῳδίοις οὔσης οὐ δεῖ χειρουργεῖν (293—295).

Σελήνης συνοδευούσης Ἡλίῳ ἢ πανσεληνιαζούσης οὐ δεῖ χειρουργεῖν (295—299).

Ἄρης ὡροσκοπῶν ἢ συνοδεύων τῇ Σελήνῃ βλάπτει τοὺς χειρουργουμένους· ἢ γὰρ ἐκ δευτέρου πάλιν τομὴ γενήσεται ἢ αἵματος ῥεῦσις πολλοῦ (300—304).

Σελήνη συνοδεύουσα Κρόνῳ βλάπτει τὰς χειρουρ-

---

5 *μετα οἰου δήποτε M.*

10 *ὁ ὡροσκόπος* suspectum. — *Αἰγόκερῳ* scribendum existimavi et hoc loco et aliis, non cum *d Αἰγοκέρωτι*, quia in codice supra Capricorni signum littera *ω* exstat sicuti statim supra signum Virginis et alias saepius (*Παρθένῳ*, *Κρόνῳ*, *Ἡλίῳ*, *Κριῷ*). patet igitur nomina illa omnia e x i r e debere in eandem litteram *ω* vel potius in *ῳ* (*ι* mutum rarissime noster adscripsit). — 14 *τροπικά· Καρκίνος*, *Αἰγόκερως*, *Ζυγός*, *Κριός M* in marg. —

γίας· πολυχρονίως γὰρ ταλαιπωρήσει τῇ τομῇ καὶ εἰς κακὸν τέλος καταντήσει (305—308).

Σελήνη μετὰ Διὸς ἢ Ἀφροδίτης λειψιφωτοῦσα καὶ μᾶλλον μετὰ τὴν δευτέραν διχότομον καλὴν τὴν χειρουργίαν ποιεῖ (309—315).

Ζεὺς καὶ Ἀφροδίτη ὡροσκοποῦντες ἀγαθὴν τὴν χειρουργίαν ποιοῦσιν. — τὰ δὲ εἰρημένα πάντα κοινῶς δεῖ συνυπακούειν ἐπὶ πάσης χειρουργίας (316—319).

VIII. *Περὶ δραπετῶν.*

Σελήνης Κριῷ· ὁ φυγὼν ταχέως εὑρεθήσεται ἢ καὶ αὐτὸς ἑκὼν ἐπανήξει (320—331).

Σελήνης Ταύρῳ· ὁ φυγὼν ἐν οἴκῳ πλουσίου ἀνδρὸς κρύπτεται καὶ δυσκόλως εὑρεθήσεται (332—336).

Σελήνης Διδύμοις· εἴσω ε´ ἡμερῶν ληφθήσεται ὁ φυγών. εἰ δὲ τὰς ε´ ἡμέρας ὑπερβῇ, μετὰ τρεῖς μῆνας εὑρεθήσεται (337—340).

Σελήνης Καρκίνῳ· ὁ φυγὼν εἰς ἱερὸν ἢ εἰς τέμενος κρύπτεται, καὶ ἐν τῇ β´ ἡμέρᾳ ἐκ τοῦ ἱεροῦ ὑπόσπονδος ἀχθήσεται, ὥστε μηδὲν κακὸν παθεῖν (341—345).

Σελήνης Λέοντι· ὁ φυγὼν ἐν μὲν τῇ α´ ἡμέρᾳ οὐχ εὑρεθήσεται, ἐν δὲ τῇ β´ ἡμέρᾳ οὐ μὴ τελειώσῃ ὅσα βούλεται ἐν τῇ φυγῇ, εὑρεθήσεται δὲ ἐν οἴκῳ ἀνδρὸς πλουσίου. ζήτει δὲ αὐτὸν ἐν ἀγρῷ ἢ ἐν κήπῳ (346—353).

Σελήνης Παρθένῳ· ὁ φυγὼν πολλὰς ἡμέρας

---

8 *συνυ̇πακούειν M.*

18 *ἐκ τοῦ ἱεροῦ* om. *d.* — 19 *ἀχθήσεται M*, *εὑρεθήσεται d* nescio quo iure. —

κρυβήσεται λανθάνων ἐν ἀμφιλαφεῖ καὶ δασεῖ τόπῳ (354—359).

Σελήνης Ζυγῷ· ὁ φυγὼν αὐτὸς ἑκὼν ὑποστρέψει δικαιολογούμενος πρὸς τὸν δεσπότην (360—363).

Σελήνης Σκορπίῳ· ὁ φυγὼν ἐν ἱερῷ τόπῳ κρύπτεται καὶ αὐτὸς ἑκὼν ὑποστρέψει (364—366).

Σελήνης Τοξότῃ· ὁ φυγὼν ἢ ἕως ἡμερῶν ε΄ εὑρεθήσεται ἢ ὑπερβὰς τὰς ε΄ ἡμέρας χρόνον πλεῖστον ἀφανισθήσεται (367—372).

Σελήνης Αἰγόκερῳ· ὁ φυγὼν ζωγρηθεὶς ἐν τῇ ξένῃ ταχέως ἀνάγεται (373—374).

Σελήνης Ὑδροχόῳ· ὁ φυγὼν ἀκουσθήσεται ὅτι ἐν χώρᾳ ξένῃ διάγει παρ᾽ ἀνδρὶ δημαγωγῷ ἢ στρατιώτῃ (375—381).

Σελήνης Ἰχθύσιν· ὁ φυγὼν ἐν μὲν τῇ α΄ ἡμέρᾳ κινδυνεύσει, ὥστε καὶ ἐγγὺς γενέσθαι θανάτου· ἐν δὲ τῇ β΄ ἡμέρᾳ πολλὰ κακοπαθήσας πάλιν εἰς τὸν ἴδιον ἐπανήξει δεσπότην (382—387).

Σελήνη χωρίς τινος ἀστέρος πλανωμένου οὖσα καθ᾽ ἑαυτὴν δηλοῖ, ὅτι οὐ δύναται μακρὰν ἀπελθεῖν

---

13 παρ᾽ ανδρὶ διμαγωγῶ *M*, παρὰ δημαγωγῷ *d*. — 15 ἐν αλλο. βλεπε τὸ ιβ΄τημ[ό] (i. e. δωδεκατημόριον) τῆς σελήνης καὶ ἡ ἐπιβλεπει αὐτην ευρεσιν σ[η]· ὅσας δὲ μοίρας ἀπέχει τὸ ιβ΄τημ[ό] ἀπὸ τῆς σελήνης, τοσαύτα μίλια διανοίσας εὑρεθήσεται. καὶ ὅτε ἔλθη ἡ σελήνη εἰς τὸ ιβ΄τημ[ό], εὑρεθήσεται ὁ δραπέτης: — ἄλλο. ἀπὸ φ$^{rc}_{c}$ (ὡροσκόπου?) ἐπι σελήνην πόσα ζῴδιά εἰσιν ἀναμεταξὺ καὶ ἀπο ἡλίου ἐπι φ$^{c}_{c}$ τούτων ἡ σύνθεσις ση[μ΄] (i. e. σημαίνει) μετα πόσας ἡμέρας εὑρεθήσεται ὁ δραπέτης: — sic in marg. *M*. —

ὁ φυγών, ἀλλὰ πλησίον τῆς οἰκίας τοῦ ἰδίου δεσπότου πλανᾶται (388—392).

ἐὰν δὲ συνοδεύῃ τινὶ πλανωμένῳ ἡ Σελήνη, μακρὰν ὁ φυγὼν ἀπελεύσεται (393—396).

ἀλλ' εἰ μὲν μετὰ Ἄρεως ἢ μετὰ Κρόνου συνοδεύῃ ἡ Σελήνη, κομίζει μὲν πόρρω τὸν φυγόντα, ποιεῖ δὲ αὐτὸν δεσμώτην κρατηθῆναι (397—401).

ἐὰν δὲ μετὰ Διὸς ἢ Ἀφροδίτης συνοδεύῃ ἡ Σελήνη, ἀφανισθήσεται ὁ φυγὼν καὶ οὐ μὴ εὑρεθῇ (402—424).

εἰ δὲ συνοδεύῃ τῷ Ἑρμῇ ἡ Σελήνη, εὐθέως εὑρεθήσεται ὁ φυγών· φήμη γὰρ περὶ αὐτοῦ εὐθέως ἔρχεται μηνύουσα αὐτόν (425—428).

Σελήνη συνοδεύουσα τῷ Ἡλίῳ ἢ πανσεληνιάζουσα ἐκτοπίζει τὸν φυγόντα (429—432).

Σελήνη συνοδεύουσα Κρόνῳ ποιεῖ τὸν φυγόντα ὑπό τινων ἐν τῇ ὁδῷ κακούργων ἐπιβουλευθῆναι καὶ ὅσα βαστάζει ἀφαιρεθῆναι (433—438).

IX. Περὶ τεχνῶν διδασκαλίας.

Σελήνη Κριῷ, Παρθένῳ, Καρκίνῳ ὑπὸ Διὸς ἢ Ἀφροδίτης μαρτυρουμένη τρίγωνος ἢ τετράγωνος ἢ διάμετρος ποιεῖ τὸν τέχνης τινὸς καταρξάμενον κατορθῶσαι αὐτήν. παρατηροῦ δέ, ἵνα μὴ ἐν τοῖς προκειμένοις οὖσα ζῳδίοις ἡ Σελήνη συνοδεύσῃ τῷ Ἡλίῳ ἢ διαμετρῇ (439—455).

---

9 μῆι εὑρεθῆι M, corr. d.
24 προειρημένοις d. — 25 διαμετρεῖ M.

X. *Περὶ γεωργίας.*

Σελήνης *Κριῷ*· *συμφέρει φυτεύειν, σπείρειν, σηκοὺς κατασκευάζειν, γῆν ἀργὴν βωλοστροφεῖν καὶ ἐξημεροῦν· ἔσται γὰρ ταχέως κάρπιμος* (456—470).

Σελήνης Ταύρῳ· συμφέρει γεωργικὰ πράγματα πάντα ἁπλῶς πράττειν· ἐργολαβίας δὲ ἢ μισθώσεως γεωργικῆς ἐπιλαβέσθαι οὐ συμφέρει (471—475).

Σελήνης Διδύμοις· κάλλιστον πάντα γεωργικὰ πράττειν, σπείρειν τε καὶ φυτεύειν (476—480).

Σελήνης Καρκίνῳ· συμφέρει κήπους ἐργάζεσθαι, κατωρυγιάζειν, ἀργὴν γῆν ἡμεροῦν (481—483).

Σελήνης Λέοντι· συμφέρει σπείρειν σῖτον καὶ κριθὰς μόνον, ἄλλο δὲ μηδέν (484—487).

Σελήνης Παρθένῳ· συμφέρει σπείρειν παντοῖα εἴδη καὶ φυτεύειν παντοῖα φυτὰ πλὴν ἀμπέλου (488—496).

Σελήνης Ζυγῷ· συμφέρει γεωτομεῖν, σπείρειν, φυτεύειν πᾶν φυτόν (497—502).

Σελήνης Σκορπίῳ· συμφέρει σπείρειν· ἔσται γὰρ πολυκαρπία. συμφέρει δὲ καὶ γεωμετρεῖν (503—508).

Σελήνης Τοξότῃ· οὐ δεῖ σπείρειν τὸ οἱονοῦν σπέρμα, συμφέρει δὲ μάνδρας καὶ σηκοὺς κατασκευά-

---

1 In marg. a man. rec. *γεωργία M.* — 3 *βολοστροφεῖν M*, corr. *d.* — 10 *συμφέρει*: hoc verbo in codice *M* terminatur fol. ρξϛʹ, quod nunc falso excipit fol. ρξεʹ. — 11 *ἢ μετροῦν* ('ut in eadem re v. 508 *συμφέρει δὲ καὶ γεωμετρεῖν*') sic *d*, *ἠμεροῦν M* vitiose exaravit ut aliis locis *ἕκαστα*, *ὁδὸς*, *αἵματος*, *ὡροσκόπος*, *ἥξει*, *ἕξει*, *ἕξουσιν*, *ἁλιέα*, *οὔσης* alia saepissime. corrigendum esse *ἡμεροῦν* facile cognoscas ex metaphrasi versuum 456—470. — 13 *μηδέν*, sed *εν* in ras. *M.* — 21 *οἷον οὖν M.* —

ζειν, ἔτι δὲ καὶ ἀχυρμιὰς ποιεῖν καὶ χορτοκοπεῖν καὶ τὰ τοιαῦτα (509—517).

Σελήνης Αἰγόκερῳ· συμφέρει πᾶσαν ἀγέλην κτηνῶν εἰς ἕτερον τόπον μεθιστάνειν, οἷα γίνεται πολλάκις διαχειμάδια καὶ διάψυχρα ὕδατα ἐν θέρει (518—522).

Σελήνης Ὑδροχόῳ· συμφέρει ἀροτριᾶν, γεωμετρεῖν, φυτεύειν (523—526).

Σελήνης Ἰχθύσι· συμφέρει γεωργεῖν καὶ ἀμπελουργεῖν (527—529).

Σελήνη μετὰ μὲν Διὸς ἢ Ἀφροδίτης ἢ Ἑρμοῦ τὰ μὲν ἀγαθὰ πάντα τὰ εἰρημένα ἐπὶ ἑκάστου τῶν ζῳδίων πολλαπλασιάζει, τὰ δὲ κακὰ μειοῖ· μετὰ δὲ Κρόνου ἢ Ἄρεως ἔμπαλιν τὰ μὲν ἀγαθὰ σμικρύνει καὶ ἀμαυροῖ, τὰ δὲ κακὰ ἐπαύξει (530—543).

XI. Περὶ τῶν ἐν δεσμοῖς.

Σελήνης Κριῷ, Διδύμοις, Καρκίνῳ, Λέοντι· ὁ δεθεὶς πολὺν χρόνον ἔσται δεδεμένος (544—550).

Σελήνης Σκορπίῳ, Τοξότῃ, Ταύρῳ, Ζυγῷ, Παρθένῳ· ὁ δεθεὶς ταχέως λυθήσεται (551—555).

Σελήνης Ἰχθύσιν· ὁ δεθεὶς σχεδὸν οὐδέποτε λυθήσεται, ἀλλ' ἐν τοῖς δεσμοῖς τελευτήσει ἢ μετὰ χρόνον πάνυ πολὺν λυθήσεται (556—560).

Σελήνη μετὰ τῶν ἀγαθοποιῶν Διός, Ἀφροδί-

---

1 καὶ ante ἀχυρμιὰς om. *d*. — 5 διαχειμαδεία *M* (non διὰ χειμαδεῖα). — διαψυχρὰ *M* (non διὰ ψυχρά). — 14 ἢ *M*, καὶ *d*, ἢ ego. — σμικρίνοι *M*.

16 Totum hoc περὶ τῶν ἐν δεσμοῖς caput in codice *M* m. 1 omisit, addidit in margine paulo recentior manus. — 19 'Ταύρῳ omittit paraphr.' *d* errore. —

της, Ἑρμοῦ ταχέως τῶν δεσμῶν λύει, μετὰ δὲ [Κρόνου ἢ] Ἄρεως βραδέως λύει τὸν δεσμώτην ἢ καὶ μέχρι θανάτου κατέχει ἐν δεσμοῖς (561—566).

XII. Περὶ κλοπῆς.

Σελήνης Κριῷ· τὸ κλαπὲν εὑρεθήσεται (567—569).

Σελήνης Ταύρῳ· ἕως μὲν τῆς ι′ μοίρας τὸ κλαπὲν πρός τινα δυνάστην ἀπελθὸν δυσκόλως εὑρεθήσεται· αἱ δὲ λοιπαὶ κ′ μοῖραι τοῦ Ταύρου εὕρεσιν ὑποφαίνουσι τοῦ κλαπέντος, πλὴν εἰ μὴ Ἄρης συμπαρῇ τῇ Σελήνῃ (570—577).

Σελήνης Διδύμοις· τὸ κλαπὲν εὑρεθήσεται, πλὴν μετά τινος μικρᾶς βλάβης (578—579).

Σελήνης Καρκίνῳ· τὸ κλαπὲν εἰ μὲν χρυσὸς ἢ ἄργυρος εἴη εὑρεθήσεται, εἰ δέ τι ἄλλο κτῆμα οὐχ εὑρεθήσεται (580—583).

Σελήνης Λέοντι· τὸ κλαπὲν ἀμφισβητήσιμόν ἐστι πότερον εὑρεθήσεται ἢ οὔ (584—586).

Σελήνης Παρθένῳ· τὸ κλαπὲν χρόνῳ καὶ οὐ παραυτίκα εὑρεθήσεται (586—588).

Σελήνης Ζυγῷ· τὸ κλαπὲν εὑρεθήσεται (589).

Σελήνης Σκορπίῳ· τὸ κλαπὲν εὑρεθήσεται (590—591).

Σελήνης Τοξότῃ· τὸ κλαπὲν οὐδέποτε εὑρεθήσεται (591—592).

Σελήνης Αἰγόκερῳ· τὸ κλαπὲν χρόνῳ καὶ βραδέως εὑρεθήσεται (593—595).

---

1 Κρόνου ἢ om. *M*.
4 Idem titulus in marg. a m. rec. *M*. — 9 πλὴν om. *d*. — 16 ἔστιν *M*. —

Σελήνης Ὑδροχόῳ· τὸ κλαπὲν ἀμφίβολόν ἐστιν, εἴ ἄρα εὑρεθῇ ἢ οὔ (595—597).

Σελήνης Ἰχθύσι· τὸ κλαπὲν μόλις εὑρεθήσεται, πλὴν φῆμαι ψευδεῖς πολλαὶ ἐλεύσονται μηνύουσαι μάτην περὶ τῆς εὑρέσεως αὐτοῦ (598—602).

Σελήνη μετὰ τῶν κακοποιῶν Κρόνου [καὶ] Ἄρεως εὕρεσιν ποιεῖ τοῦ κλαπέντος (603—604).

Σελήνη μετὰ τῶν ἀγαθοποιῶν Διός, Ἀφροδίτης, Ἑρμοῦ ἀνεύρετον ποιεῖ τὸ ἀπολόμενον (604—610).

II.

Ὑποθέσεις τῶν Μανέθωνος Ἀποτελεσματικῶν.

I. *Κεφάλαια τῆς α′ βίβλου τῶν Μανέθωνος Ἀποτελεσματικῶν.*

α′ Κρόνος καὶ Ἥλιος ἐπιθεωροῦντες Ἀφροδίτην· δυσγαμίαν, δουλογαμίαν, ἑταιριδογαμίαν (vs. 18—21).

β′ Ἄρης καὶ Ἀφροδίτη ἐπίκεντροι· μοιχοὺς ἅρπαγας γυναικῶν (22—23).

γ′ εἰ δὲ καὶ Ἑρμῆς τούτοις ἰσορροπεῖ· παιδεραστάς (24—25).

δ′ Ἥλιος καὶ Σελήνη ἐπίκεντροι, τοῦ μὲν ἐν ἀρσενικῷ, τῆς δὲ ἐν θηλυκῷ ζῳδίῳ· βασιλεῖς (26—28).

---

1 ἐστι *M.* — 2 ἆρα εὑρεθὴ *M.* — 4 πολαὶ *M.* — 6 καὶ add. *d.* — 8 Διὸς καὶ Ἄρεως ('sic *M* lapsu posuit pro Ἀφροδίτης siglo, quod non multum differt a Martio' recte) καὶ Ἑρμοῦ *d.*

10 Priorem titulum ego addidi. — 11 Hoc primi libri Apotelesmaticorum argumentum ineditum servat codex *L*, ubi a manu paulo recentiore (*l*) insertum legitur inter Maximum (fol. 1—8ᵛ) et Manethonem (fol. 9ᵛ—46ᵛ) foliis 8ᵛ et 9ʳ. —

ε′ Ἀφροδίτης ὡρονομούσης, Ἡλίου καὶ Σελήνης διαμετρούντων καὶ ἐν ἀρρενικῷ ζῳδίῳ ὄντων· τριβάδας (29—33).

ϛ′ Ζεὺς ἐπίκεντρος ἐπιθεωρῶν Κριὸν καὶ Σκορπίον· ἡγεμόνας ἐν ταῖς ἰδίαις πραγματείαις (34—37).

ζ′ Ἄρης [καὶ] Ἑρμῆς τετράγωνοι· κινδύνους περὶ χρώματα (38—39).

η′ εἰ δὲ καὶ δύνουσι, Διὸς μὴ ἐπιθεωροῦντος· ἀναίρεσιν ἀπὸ ἀρχόντων (40—41).

ϑ′ Ἄρης καὶ Ἀφροδίτη συνόντες καὶ ἐπιθεωροῦντες Σελήνην· ἀθεμιτογάμους (42—44).

ι′ Κρόνος συνὼν Ἀφροδίτῃ· δυσγαμίαν, ἀπομερισμόν, ἀτεκνίαν (45—49).

ια′ Σελήνη ἐὰν κατὰ διάμετρον Ἡλίου λύσασα φάσιν ὑπαντήσῃ Κρόνῳ· κελεφούς, ἐλεφαντιῶντας (50—57).

ιβ′ Ἀφροδίτη, Ἑρμῆς, Σελήνη ὡρονομοῦντες, Διὸς δύνοντος· μύστας, μουσικούς, ἀθλητάς (58—61).

ιγ′ Ἀφροδίτη [καὶ] Ἑρμῆς συνόντες καὶ ἐπιθεωροῦντες Σελήνην, Ἑρμῆς μὲν αὔξουσαν, Ἀφροδίτη δὲ λήγουσαν· μουσικούς (62—65).

ιδ′ Κρόνος καὶ Ζεὺς ἐπίκεντροι· ἐνδόξους, τιμίους (66—69).

ιε′ Ζεὺς καὶ Ἑρμῆς μεσουρανοῦντες, Σελήνης συναπτούσης αὐτοῖς· πλουσίους, εὐτέκνους, ἐνδόξους (70—74).

ιϛ′ Ἄρης ἐπίκεντρος· λιθοξόους, τέκτονας (75—77).

---

6 *καὶ* addidi. — 8 *ἀναίρεσιν* scripsi pro *ἀναιροῦσιν*. — 15 *ἐλεφαντοιῶντας* l. — 19 *καὶ* inserui. —

ιζʹ εἰ δὲ καὶ Ἥλιος συνῇ· χαλκεῖς, βαφεῖς, ὑελεψούς (78—82).

ιηʹ Κρόνος μεσουρανῶν ἐπὶ θέματος νυκτερινοῦ· κηπουρούς, ὑδραγωγούς, ὑπὸ γῆν ἐργαζομένους, μὴ ἀπολαύοντας τῶν ἰδίων (83—88).

ιθʹ Κρόνος καὶ Σελήνη ὡρονομοῦντες Ἑρμῆν διάμετρον· φρενοβλαβεῖς (89—91).

κʹ εἰ δὲ καὶ ἀποκλινής· σκοτοδινιῶντας, ἠλιθίους (92—95).

καʹ Ἄρης ὕπαυγος· ἀβλαβεῖς (96—99).

κβʹ Διός, Ἀφροδίτης, Κρόνου, Ἄρεως, Ἡλίου, Ἑρμοῦ ἀποτελέσματα καθ' αὑτό (100—105).

κγʹ Κρόνος, Ζεύς, Ἀφροδίτη ἐν Αἰγόκερῳ καὶ Ὑδροχόῳ, Ἄρεως ἐπιθεωροῦντος Ἀφροδίτην καὶ Σελήνην· μητρογάμους (106—111).

κδʹ εἰ δὲ Ἥλιος αὐτοῖς ἀκτινοβολεῖ· μητρυιογάμους (112—114).

κεʹ Ἥλιος ὡρονομῶν Σελήνην διάμετρον ἐν θήλεσι ζῳδίοις· κιναιδούς (115—118).

κϛʹ εἰ δὲ Κρόνος καὶ Ἄρης μεσουρανοῦσι· μοριοτμήτους ἤτοι ἀποκόπους (119—120).

κζʹ Ἀφροδίτη πρὸς Κρόνον καὶ Σελήνην διαμέτρους καὶ Ἄρης πρὸς Ἀφροδίτην τετράγωνον, Ἑρμοῦ μεσουρανοῦντος καὶ ἐπιθεωροῦντος Κρόνου τὸν Ἑρμῆν· εὐνούχους, σπάδους, στείρους, ἑρμαφροδίτους (121—127).

---

1 ὑελετους l: scripsi ὑελεψούς, sed dubitanter. — 10 ὕφαυγος l. — 12 ἀποτελέματα l. — 18 θήλισιν l. — 25 σπάδους dedi pro σπανους. σπάδοι est apud Stephanum Byz. s. Σπάδα. —

κη' Ζεὺς [καὶ] Ἑρμῆς ἐπίκεντροι· ῥήτορας, καλαμαρίους, γραφεῖς, ἐμπόρους (128—133).

κθ' Σελήνη συναπαυξίφως Ἄρει ἐκτεύοντι· μονόποδας, ξυλόποδας (134—138).

λ' Ἄρεως σκώμματα (139—152).

λα' Σελήνη ἀπορρέουσα Κρόνου· ῥευματικούς, ὑδερικούς (153—157).

λβ' Σελήνη ἀπορρέουσα Ἄρεως· ἐντοσινεῖς, ἡπατικούς, σπληνικούς, νεφριτικούς, αἱμοπτυϊκούς, μαινομένους (158—166).

λγ' Ἄρης μεσουρανῶν ἐπὶ θέματος ἡμερινοῦ γονεῖς διαλύει θανάτῳ ἢ διχοστασίᾳ, ἐν κινδύνοις σιδήρῳ ἀντιποιεῖ (167—174).

λδ' εἰ δὲ Ζεὺς ἐπιθεωρεῖ, λύει τὰ κακά (175).

λε' Ἄρης Λιβυκός· σίνος, λύπας, θορύβους, ἐγκλήματα, ξενιτείας (176—179).

λϛ' Ἀφροδίτη, Ἑρμῆς, Κρόνος τὸν πρακτικὸν λαχόντες· ἰατρούς (180—181).

λζ' εἰ δὲ καὶ Ζεὺς ἐπιθεωρεῖ· πλουσίους, ἐνδόξους (182—184).

λη' Σελήνη αὐξίφως ἀπὸ συνόδου, Κρόνῳ συνάπτουσα ἢ Ἄρει, εἰ μὴ Ζεὺς ἐπιθεωρεῖ· ἄωρα ὠμοτοκούσας ἀπολλύει (185—195).

λθ' ὅτι ἀναγκαίως τὸ πεπρωμένον ἐστίν (196—207).

μ' Σελήνη συνάπτουσα Διὶ πλησίφως· εὐτυχεῖς (208—209).

---

1 καὶ inserui. — 3 ἐκτεύοντι *l*. — 9 νεφριτικους, sed ους in ras. *l*. — ἁμοπτυϊκοὺς *l*. — 11 Fol. 9^{r} *l*. — 12 post διχοστασι$^{\Delta}$ (sic) rasura trium vel quattuor litterarum *l*; in σιδήρῳ vocabulo ultima littera detrita. — 15 ἐγκλίματα *l*. — 16 ξενητειας *l*. —

μα' Σελήνη ἀπορρέουσα Διὸς πλησίφως· ἔκφρονας, νοσερούς, κάμνοντας τῷ βίῳ (210—214).

μβ' Ζεὺς καὶ Ἄρης ἐπίκεντροι καὶ ἀλλήλοις διάμετροι· βίον ἀνώμαλον, ἀπρόκοπον, ἄφιλον (215—222).

μγ' εἰ δὲ καὶ Ἄρης μεσουρανεῖ· κακοθανάτους (223).

μδ' Σελήνη αὐξίφως συνάπτουσα Διὶ καὶ Ἀφροδίτῃ ἐπικέντροις· ἄρχοντας, πλουσίους, ἐνδόξους, τιμίους (224—228).

με' Ἥλιος καὶ Σελήνη ὡρονομοῦντες, Κρόνου καὶ Ἄρεως δυνόντων· μαινομένους ἢ καταπιπτικούς (229—234).

μς' Ἀφροδίτη μεσολαβουμένη ὑπὸ Κρόνου καὶ Ἄρεως ἐπιθεωρούντων Ἑρμῆν καὶ Σελήνην τετραγώνους· μάντεις, ὀνειροκρίτας, φοιβητάς, ἀγριότριχας, πολλάκις ἑαυτοὺς ξίφει πλήττοντας (235—244).

μζ' Σελήνη συνάπτουσα πλησίφως Ἄρει, μὴ ἐπιμαρτυρούντων Διὸς ἢ Ἀφροδίτης· πενίαν, ὀλιγοχρονιότητα (245—249).

μη' Σελήνη μεσολαβουμένη ὑπὸ Κρόνου καὶ Ἄρεως· δυστοκίαις, ἀγχόναις, πυρὶ ἢ ὕδατι ἀπολλυμένους (250—255).

μθ' Ἀφροδίτη μεσολαβουμένη ὑπὸ Κρόνου καὶ Ἄρεως· δουλογάμους, ζηλοτύπους, ἔσθ' ὅτε καὶ ἀναιρέτας τῶν γυναικῶν, κακοδαίμονας (256—261).

---

7 Quae tribus prioribus litteris vocis *τιμίους* in *l* sic superscripta leguntur $\overset{\sim\nu\epsilon}{\tau\iota\mu}$ non expedio (cfr. supra p. 97, 22); syllaba *ους* solito compendio expressa. — 10 *καταπιπτικούς* dubitanter dedi pro $\overset{\tau}{\kappa}$*ρικτικούς*. — 24 *κακοδαίμονας* scripsi: in *l* nihil est nisi ΚΟΔδΜ cum compendio supra ultimam litteram exarato nunc parum perspicuo. an voluit *κακογάμους*? —

ν′ Ζεὺς [καὶ] Ἀφροδίτη ὡρονομοῦντες, Κρόνου [καὶ] Ἄρεως δυνόντων· πλουσίους πρῶτον, ὕστερον πένητας καὶ ἀεὶ ἐνθορύβους (262—265).

να′ εἰ δὲ Ζεὺς ἐσχατόμοιρος· ἀθορύβους (266).

νβ′ Κρόνος καὶ Ἄρης ὡρονομοῦντες, Διὸς δύνοντος· πένητας πρῶτον, ὕστερον πλουσίους, ἀεὶ δὲ βίον ἀνώμαλον (267—270).

νγ′ Σελήνη συνοῦσα Κρόνῳ καὶ Ἄρει κατεντόμοιρος, εἶτα συνάπτουσα αὐτοῖς· πένητας, ἐλεεινούς, περιπολεύοντας, προμοίρους (271—276).

νδ′ Σελήνη μεσουρανοῦσα, Ἡλίου ἐπικέντρου καὶ ἐν ἀρσενικοῖς τόποις ὄντος ἐπὶ θέματι νυκτερινῷ· βασιλεῖς (277—280).

νε′ Σελήνη ὡρονομοῦσα, Ἡλίου καὶ Ἑρμοῦ μεσουρανούντων ἐπὶ θέματι ἡμερινῷ, κακοποιῶν μὴ ἐπιθεωρούντων· βασιλεῖς (281—285).

νς′ Ἀφροδίτη ἐπιμαρτυροῦσα Ἄρει· ἐμπυροτέχνας, χαλκεῖς (286—289).

νζ′ Ἑρμῆς ἐν οἴκοις ἰδίοις, Κρόνου μαρτυρῶν· ῥήτορας, ἀστρολόγους (290—293).

νη′ Σελήνη σύμφωνος οὖσα Ἑρμῇ, Διὸς συνόντος Ἀφροδίτῃ· χρυσοχόους, ζωγράφους, ἐλεφαντουργούς (294—300).

νθ′ Ἑρμῆς ἀκτινοβολῶν Δία, ἐναλλὰξ τοῖς ὁρίοις· ῥήτορας, γραμματικούς, σοφούς, νεότητα λαμπράν (301—305).

ξ′ Σελήνη ἀκτινοβοληθεῖσα ὑπὸ Ἄρεως, περὶ αὐτοὺς

---

1 καὶ inserui. — 8 κατεντόμοιρος scripsi pro $\overset{T}{\text{KENTOMEIP}}$ (lin. 4 est $\text{ἐσχατομ}^{ο}$). — 15 κακοιποιῶν l. —

ὄντος Ἑρμοῦ ἢ καὶ διαμέτρου· λῃστάς, ἐπανοίκτας, ξίφει ἢ βρόχῳ τελευτῶντας (306—320).

ξα' Ἥλιος ἀκτινοβολῶν Κρόνον καὶ Ἄρη· ναυάρχους (321—326).

ξβ' Κρόνος ἰσόμοιρος Ἡλίῳ προαναιρεῖ τὸν πατέρα τῆς μητρὸς καὶ πρώτους ἀδελφοὺς καὶ τὰ πατρῷα ἀπολλύει, πλουτίζει δ' ἀποκλήτορας (327—333).

ξγ' Σελήνη [καὶ] Κρόνος ἰσόμοιροι, ἐπιμαρτυρῶν Ἄρης· ἡ μήτηρ προτελευτᾷ ἢ δυστοκίᾳ ἢ αἱμορραγίᾳ (334—338).

ξδ' Κρόνος ὡρονομῶν, Ἄρεως δύνοντος· κακομόρους (339—340).

ξε' Ἥλιος πρὸς Ἄρη τετράγωνος, Σελήνη πρὸς Κρόνον τετράγωνος· δουλείαν ἢ γονέων στέρησιν (341—342).

ξς' εἰ δὲ καὶ Ἀφροδίτη διαμετρεῖ Ἄρη καὶ Κρόνος αὐτὴν καθυπερτερεῖ τετράγωνος· δούλους ἐκ δούλων (343—345).

ξζ' Ἑρμῆς [καὶ] Σελήνη ὡρονομοῦντες, Ζεὺς πρὸς Κρόνον τρίγωνον ἢ τετράγωνον· εὐτυχεῖς πλούτῳ, δόξῃ, φιλίαις (346—349).

ξη' Ζεύς, Ἄρης, Ἑρμῆς ὡρονομοῦντες καὶ Σελήνη ἀπὸ συνόδου Κρόνῳ συμβάλλουσα· εὐτυχεῖς καὶ μακαρίους (350—352).

ξθ' Κρόνος παροδικῶς ἐπελθὼν τοῖς Ἄρεως τόποις πολλῶν κακῶν αἴτιος (353—356).

ο' Ἄρης παροδικῶς ἐπελθὼν τοῖς Κρόνου τόποις καλός (357—358).

---

1 ἐπανύκτας l. — 8 et 19 καὶ inserui.

II. Ἐν τῷ β′ τούτῳ βιβλίῳ διέξεισιν·

α′ περὶ τῆς θέσεως τῶν ἐν τῇ σφαίρᾳ κύκλων φαινομένων τε καὶ ἀφανῶν καὶ ἄξονος καὶ ὁρίζοντος καὶ τῆς ἐν τοῖς κύκλοις τῶν ἄστρων τε καὶ ἀστέρων θέσεως καὶ τῶν λοξῶν κύκλων.

β′ τί ἕκαστος τῶν ἑπτὰ πλανητῶν ἐν ἰδίῳ, καὶ τί ἐν ἀλλοτρίῳ οἴκῳ φαινόμενος ἀποτελεῖ.

γ′ τίς ἑκάστου τῶν ἑπτὰ πλανητῶν ἐν τῇ ἀνατολῇ, καὶ τίς ἐν τῇ δύσει ἡ δύναμις.

δ′ περὶ τῆς φάσεως τῶν ζ′ πλανητῶν, καὶ τί μὲν ἕκαστος αὐτῶν τῷ Ἡλίῳ συνὼν ἀποτελεῖ, καὶ τί διαμετρῶν, τί δὲ τῇ Σελήνῃ καθ᾽ ἑκάστην τῶν δύο φάσεων αὐτῆς.

III. Ἐν τῷ γ′ βιβλίῳ φησίν·

α′ τί ἀποτελεῖ ἕκαστος τῶν ζ′ πλανητῶν ὡροονομῶν ἐν ἰδίῳ οἴκῳ καὶ ἐν ἄλλῳ τινὶ τῶν γ′ κέντρων μόνος εὑρισκόμενος ἐν ἰδίῳ μέντοι οἴκῳ.

β′ τί ἀποτελεῖται, ἡνίκα ἑνὸς ὡρονομοῦντος ἕτερος ἐπὶ τοῦ δυτικοῦ κέντρου μόνος θεωροῖτο, καὶ ὅτε τὰ αὐτὰ ἀποτελέσματα ἀπαραλλάκτως εὑρίσκομεν ὄντα, κἂν ἐπὶ τοῦ μεσουρανήματος καὶ ἀντιμεσου-

---

1 Fol. 14r *l*. — 9 ἡ om. *gak*. — 13 αὐτῆς om. *gak*.
14 Fol. 20r *l*. — 16 ἐν παντὶ τῶν ἄλλων τριῶν κέντρων *k*. — 18 ἀποτελεῖ *gak*. — 19 καὶ τὸ [ὸ *l*] τῶν ἀνθρώπων [Τ̄ ἀῩ *l*] ἀποτέλεσμα ... ἀπαλλάκτως *g*, καὶ πότε τῶν ἀνθρώπων ἀποτελέσματα ἀπαλλάκτως coni. *a*, καὶ τὸ τῶν ἀνθρώπων ἀποτέλεσμα ἀπαραλλάκτως *k*. codicis lectionem restitui. — 20 εὑρίσκομεν ὄντα, κἂν *ga*, εὑρισκόμενον, κἂν *k*. — 21 ἀντὶ μεσουρανήματος *g* pro ἀντιμεσ. —

ρανήματος εὑρεθῶσιν, ἑαυτοὺς διαμετροῦντες εἷς μὲν ἄνω, εἷς δὲ κάτω ὤν.

γ΄ τί ἀποτελοῦσιν οἱ συμμαρτυροῦντες ἀλλήλοις, ἢ καὶ συσχηματιζόμενοι, ἢ καὶ ἐπιβλέποντες ἑαυτούς.

δ΄ τί ἀποτελεῖται Ἡλίου καὶ Σελήνης ἑαυτοῖς συσχηματιζομένων, τοῦ μὲν ἐν ἀρσενικοῖς προσφόρως τῇ οἰκείᾳ φύσει, τῆς δὲ ἐν ζῴοις θήλεσιν εὑρισκομένης, ἢ τὸ ἀνάπαλιν, ἢ καὶ ἀμφοτέρων ἐν ἄρρεσιν, ἢ καὶ ἀμφοτέρων ἐν θήλεσιν, καὶ τί μὲν ἐπὶ ἀνδρός, τί δὲ ἐπὶ γυναικὸς ταῦτα ἀποτελεῖ.

ε΄ περὶ χρόνων ζωῆς, καὶ πῶς μὲν τούτους ἐφοδευτέον δι᾽ ἡμέρας, πῶς δὲ νυκτός· καὶ πότε μὲν ἀπὸ τῶνδε, πότε δὲ ἀφ᾽ ἑτέρων τούτους παραληπτέον.

VI. Μανέθωνος Ἀποτελεσματικῶν βιβλίον ϛ΄, ἐν ᾧ φησιν·

α΄ περὶ τροφῆς καὶ ἀτροφίας παίδων.
β΄ περὶ γάμου.
γ΄ περὶ τέκνων γονῆς.
δ΄ περὶ στείρων καὶ ἀσπέρμων.
ε΄ περὶ πληθύος τέκνων ἢ καὶ ὀλιγοπαιδίας.
ϛ΄ περὶ τοῦ ποίας τέχνας ἢ ποίας πράξεις μετελεύσεται ὁ τεχθείς.
ζ΄ περὶ σίνους.
η΄ περὶ κτήσεως.
θ΄ περὶ δουλείας τύχης.

---

1 οὖν μετροῦντες *g*, qui coni. ἀναμετροῦντες, quod receperunt *ak*. — 5 Ἄρεως pro Ἡλίου *ga*.

14 Argumenta quarti et quinti libri desunt. — Verba ἐν ᾧ φησιν scripsit *l*, reliqua *L* fol. 37ᵛ. — 20 πλήθους *gak*.

III.

Περὶ ἐνεργείας τῶν ιβ΄ ζῳδίων.

ἀρσενικά· *Κριὸς Δίδυμοι Λέων Ζυγὸς* Τοξότης *Ὑδροχόος.*

θηλυκά· *Ταῦρος Καρκίνος Παρθένος Σκορπίος Αἰγόκερως Ἰχθύες.*

ἡμερινά· *Κριὸς Καρκίνος Λέων* Τοξότης.

νυκτερινά· *Δίδυμοι Ζυγὸς Αἰγόκερως Ὑδροχόος.*

ὀρθά· *Καρκίνος Λέων Παρθένος Ζυγὸς Σκορπίος* Τοξότης.

πλάγια· *Αἰγόκερως Ὑδροχόος Ἰχθύες Κριὸς Ταῦρος Δίδυμοι.*

ἀνωφερῆ· *Κριὸς Δίδυμοι Λέων Ζυγὸς* Τοξότης *Ὑδροχόος.*

κατωφερῆ· *Ταῦρος Καρκίνος Παρθένος Σκορπίος Αἰγόκερως Ἰχθύες.*

τροπικά· *Κριὸς Καρκίνος Ζυγὸς Αἰγόκερως.*

στερεά· *Ταῦρος Λέων Σκορπίος Ὑδροχόος.*

δίσωμα· *Δίδυμοι Παρθένος* Τοξότης *Ἰχθύες.*

ἐαρινά· *Κριὸς Ταῦρος Δίδυμοι.*

θερινά· *Καρκίνος Λέων Παρθένος.*

μετοπωρινά· *Ζυγὸς Σκορπίος* Τοξότης.

χειμερινά· *Αἰγόκερως Ὑδροχόος Ἰχθύες.*

ἰσημερινά· *Κριὸς Ζυγός.*

πυρώδη· *Κριὸς Λέων* Τοξότης.

γεώδη· *Ταῦρος Παρθένος Αἰγόκερως.*

---

1 Fol. 133^{v} codicis *M.* — 4 *θηλοικὰ M.* — 7 *νοικτερινὰ.* — 17 *στεραιὰ.* — 21 *μετωπωρινὰ.* — 23 *ἡσιμερινὰ.* —

ἀερώδη· Δίδυμοι Ζυγὸς Ὑδροχόος.

ὑδατώδη· Καρκίνος Σκορπίος Ἰχθύες.

ὁμόζωνα· Δίδυμοι Παρθένος Τοξότης Ἰχθύες Κριὸς Σκορπίος Ταῦρος Ζυγὸς Αἰγόκερως Ὑδροχόος.

ἰσανάφορα· Κριὸς Ἰχθύες.

χερσαῖα· Κριὸς Ταῦρος Δίδυμοι Λέων Παρθένος Ζυγὸς Τοξότης.

ἔνυδρα· Καρκίνος Αἰγόκερως Ὑδροχόος Ἰχθύες.

ἀμφίβια· Ταῦρος Καρκίνος Σκορπίος Αἰγόκερως.

ὁρῶντα· Δίδυμοι Λέων Ταῦρος Παρθένος Κριὸς Ζυγὸς Σκορπίος Ἰχθύες Τοξότης Ὑδροχόος.

ἀκούοντα· Ταῦρος Ἰχθύες Δίδυμοι Ὑδροχόος Καρκίνος Αἰγόκερως Λέων Τοξότης Παρθένος Σκορπίος.

κελεύοντα καὶ ὑπακούοντα· Ταῦρος κελεύει Ἰχθύσιν, Ἰχθύες ὑπακούουσι Ταύρῳ, Δίδυμοι κελεύουσι Ὑδροχόῳ, Ὑδροχόος ὑπακούει Διδύμοις, Καρκίνος κελεύει Αἰγόκερῳ, Αἰγόκερως ὑπακούει Καρκίνῳ, Λέων κελεύει Τοξότῃ, Τοξότης ὑπείκει Λέοντι, Παρθένος κελεύει Σκορπίῳ, Σκορπίος ὑπείκει Παρθένῳ.

βόρεια· Κριὸς Λέων Τοξότης.

νότια· Ταῦρος Παρθένος Αἰγόκερως.

ἀπηλιωτικά· Δίδυμοι Ζυγὸς Ὑδροχόος.

λιβυκά· Καρκίνος Σκορπίος Ἰχθύες.

θερμόν· Λέων.

κατεψυγμένον· Αἰγόκερως.

κατάψυχρον· Ὑδροχόος.

κάθυγρα· Καρκίνος Αἰγόκερως Ἰχθύες.

---

10 ὡρόντα. — 17 αἰγόκερος pro Αἰγόκερως. — 18 λέον. — 18 et 20 ὑπίκει. — 28 κάθυργα: incipit fol. 134r. —

κοινωνικόν· Παρθένος.
φωνήεντα· Κριὸς Ταῦρος Δίδυμοι Παρθένος Ὑδροχόος.
ἡμίφωνα· Λέων Τοξότης Αἰγόκερως.
ἄφωνα· Καρκίνος Ζυγὸς Σκορπίος Ἰχθύες.
βασιλικά· Κριὸς Λέων Τοξότης.
ἡγεμονικά· Κριὸς Λέων Τοξότης.
ἀρχικόν· Λέων.
δημόσια· Καρκίνος Λέων Ζυγός.
πολιτικά· Λέων Ζυγός.
ὀχλικά· Καρκίνος Ἰχθύες.
ἀγαθά· Καρκίνος Τοξότης Ἰχθύες.
δίκαιον· Ζυγός.
εὐμετάβολα· Κριὸς Καρκίνος Παρθένος Ζυγὸς Τοξότης Ἰχθύες.
ὑποτακτικά· Παρθένος Ζυγὸς Σκορπίος Ἰχθύες.
δυσυπότακτον· Λέων.
ἀμετάβλητα· Ταῦρος Σκορπίος Ὑδροχόος.
ἀμετάτρεπτον· Λέων.
θυμικά· Κριὸς Λέων.
ὀργίλα· Λέων Σκορπίος.
πικρόν· Σκορπίος.
ποικίλον· Ἰχθύες.
ἄστατον· Ἰχθύες.
αὐξομειωτικά· Κριὸς Ζυγός.
αἰνιγματώδη· Καρκίνος Σκορπίος Τοξότης Αἰγόκερως.

---

1 *κοινονικὸν.* — 2 *φωνίεντα.* — 11 *ὀχλικὰ.* — 17 *δυσὺπότακτον.* — 25 *αὔξωμιωτικὰ.* —

ἀνθρωποειδῆ· Δίδυμοι Παρθένος Ζυγὸς Τοξότης Ὑδροχόος.
τετράποδα· Κριὸς Ταῦρος Λέων Τοξότης.
θηριώδη· Λέων Σκορπίος.
διφυῆ· Τοξότης Αἰγόκερως.
τριπρόσωπον· Παρθένος.
δίχρωμα· Καρκίνος Αἰγόκερως Ἰχθύες.
πτερωτά· Παρθένος Τοξότης Ἰχθύες.
φολιδωτά· Καρκίνος Σκορπίος Ἰχθύες.
πολύποδα· Καρκίνος Σκορπίος.
ἄπουν· Ἰχθύες.
νηκτόν· Ἰχθύες.
κόσμου περιποιητικόν· Ταῦρος.
σκαπτικόν· Καρκίνος.
γεωργικόν· Αἰγόκερως.
κυρτοειδῆ· Καρκίνος Σκορπίος Αἰγόκερως Ἰχθύες.
ἀλφώδη· Σκορπίος Αἰγόκερως Ἰχθύες.
ὀκνηρόν· Ὑδροχόος.
συνουσιαστικόν· Ἰχθύες.
πολύγονα· Καρκίνος Σκορπίος Ἰχθύες.
πολύσπερμα· Κριὸς Ταῦρος Ἰχθύες.
ὀλιγόγονα· Κριὸς Ταῦρος Λέων Ὑδροχόος.
ἄγονον· Αἰγόκερως.
στειρώδη· Δίδυμοι Παρθένος Τοξότης Αἰγόκερως.
ἀσελγῆ· Κριὸς Ταῦρος Λέων Αἰγόκερως Ἰχθύες.
ληκτικά· Κριὸς Ταῦρος.
λατρώδη· Κριὸς Ταῦρος Αἰγόκερως Ἰχθύες.

---

1 ἀνθροπωειδὴ. — 5 διφυεῖ. — 7 δίχρομα. — 12 νικτὸν. — 16 κυρτωειδὴ. — 22 ὀλίγονα. — 26 λικτικὰ. —

βδελυρόν· Αἰγόκερως.
ἡμιτελῆ· Ταῦρος Τοξότης Αἰγόκερως.
μελοκοπούμενα· Κριὸς Ταῦρος Λέων Ζυγὸς Σκορπίος Τοξότης Ἰχθύες.
ὀστῶδες· Δίδυμοι.
νευρῶδες· Δίδυμοι.
λεπιδωτόν· Ἰχθύες.
συριγγώδη· Καρκίνος Ζυγὸς Σκορπίος Τοξότης Ἰχθύες.
σπαστικά· Σκορπίος Ἰχθύες.
χωλόν· Αἰγόκερως.
λεπρώδη· Καρκίνος Σκορπίος Αἰγόκερως Ἰχθύες.
σινωτικὰ ὀφθαλμῶν· Ταῦρος Καρκίνος Σκορπίος Τοξότης Αἰγόκερως Ὑδροχόος.
φθειροποιά· Σκορπίος Αἰγόκερως.
διάπυρα· Κριὸς Λέων Σκορπίος.
λειχηνώδη· Καρκίνος Αἰγόκερως Ὑδροχόος Ἰχθύες.
περικάμπια· Καρκίνος Αἰγόκερως.
ἀμφίβια· Καρκίνος Αἰγόκερως.
αὐτογέννητον· Σκορπίος.
ἀντικείμενον ἑαυτῷ· Ἰχθύες.
νεκρώδη· Ὑδροχόος Ἰχθύες.
διπρόσωπον· Τοξότης.
πολύκεντρον· Ἰχθύες.
διαδηματοφόρον· Τοξότης.
δίμορφα· Αἰγόκερως Ἰχθύες.
ἑλικοειδές· Αἰγόκερως.

---

1 βλελυρῶν sic. — 2 ἡμιτελεῖ. — 5 ὠστόδες. — 6 νευρώδες. — 7 λεπιδοτὸν. — 11 χολὸν. — 15 φθειροποιᾶ. — 17 λιχηνώδη. — 20 αὐτογενητὰ. — 24 πολλύκεντρος. — 27 ἑλικοειδὴ. —

μονογενές· Ὑδροχόος.
θηριῶδες· Τοξότης.

IV.

Περὶ ἀποτελεσμάτων τῶν ιβʹ ζῳδίων.

Σημαίνειν φασὶν οἱ ἀστρολόγοι ἐν τοῖς ἀποτελέσμασιν τὰ ιβʹ ζῴδια τάδε·

τὰ μὲν ἀρσενικὰ ἀνδρείαν καὶ φρόνησιν·

τὰ δὲ θηλυκὰ ἔκλυσιν, λαγνείαν, πικρίαν πολλὴν καὶ μωρίαν·

τὰ δὲ ὀρθὰ ὀρθῶν καὶ ἀληθινῶν πραγμάτων βραδεῖαν ἔκβασιν·

τὰ δὲ πλάγια στρεβλῶν καὶ ἐπιθετικῶν ταχεῖαν ἔκβασιν·

τὰ δὲ τροπικὰ ἀστάτων, ἀβεβαίων, εὐμεταβλήτων τρόπους·

τὰ δὲ στερεὰ ἐρωμένων καὶ ἀληθινῶν·

τὰ δὲ δίσωμα διπλῶν καὶ ὁμοίων πραγμάτων ἐμφάνειαν·

τὰ δὲ ἰσημερινὰ ἐναντίων πραγμάτων ἰσότητα·

τὰ δὲ πολύσπερμα καὶ ὀλιγόσπερμα καὶ ἄσπερμα δικολόγων, ἱερέων, διδασκάλων, ἀρχόντων, ὀρχηστῶν, δεσποτῶν, πραγματευτῶν πρόσφυγας, φη-

---

1 *μονογενῆ*. — 2 *θηριώδη*.

3 Fol. 134^r codicis *M*. — 4 *φησὶν M*. — 7 *θηλυκᾶ*. — 8 *μορίαν*. — 9 *αλιθινῶν*. — 10 *βραδείαν*. — 11 *πλάγεια*. — *ταχείαν*. — 15 *στεραιὰ*. — 18 *εἰσώτητα*. — 19 *ὀλιγόσπερμα*. — 20 *ἱερέων*: incipit fol. 134^v. — 21 *ὀρχιστῶν*. — *φιλιτὰς*. —

ληπτάς, μαθητάς, τάξεις, δούλους, συναλλακτάς, τέκνα, πατέρας·

τὰ δὲ τετράποδα θρόνους, κλίνας, ἀνέσεις, βάσεις στερεάς, θεμέλια·

τὰ δὲ ἀπόκοπα ἡμιτελῆ πράγματα, εὐνούχους, στείρας·

τὰ δὲ μελοκοπούμενα διαρπαγήν, πραγμάτων μερισμόν· τὸν Λέοντα θηρατάς, θωπευτάς, ἀρρενοθήλεις, ἐπιβουλῶν εὑρετάς· τὸ κυρτὸν τοῦ Ταύρου μηχανικοὺς κατασκευαστὰς σφαιρῶν καὶ κολυμβάδων, τροπικούς, κυρτούς· ἡ δίπλωσις τοῦ ὀλισθήσαντος ποδὸς πίπτοντας ἀπὸ τόπου εἰς τόπον καὶ ἀπὸ ὕψους, ἐσθότε δὲ καὶ εἰλομένους ἢ καὶ μεγάλων ἐκπίπτοντας ἐλπίδων ἢ ἀξιωμάτων καὶ κάμνοντας περὶ τὴν ἐξανάστασιν τοῦ ἑτέρου ποδός, τὴν βοήθειαν καμάτων, ἐλπίδα βοηθείας·

τὰ δὲ ἀνθρωπόμορφα τινῶν λογισμῶν ὀρθῶν καὶ συνήθων πράξεων τάξιν· ὁ δὲ ζῳοκέφαλος βάσιν διεστραμμένην πράγματος καὶ ἀνθρώπου·

τὰ δὲ ἑρπετὰ καὶ δίστομα καὶ πολύποδα περιτρέχοντας, διγλώσσους, παρασίτους, δήκτας, πύκτας, ἀναιδεῖς, πλαγιαρίους, δειλούς, χρόνια τραύματα ἔχοντας καὶ κακὰ βαίνοντας καὶ μαινομένους, ἐσθότε καὶ ἰσόψηφα λέγοντας·

---

1 τάξης. — σὺν ἀλάκτας. — 3 κλήνας· ἀναίσεις· βάσις. — 5 ἡμιτελεῖ. — 7 διαρπαγεῖν. — 8 fort. ὁ Λέων. — ἀρρενοθηλὴς. — 9 ἐπιβούλων εὑρετὰς· τὸ κυρτὴν τοῦ ταύρου· μιχανικοὺς. — 11 ἡ δίπλωσης τοῦ ὀλισθήσαντος. — 12 ἀπο τόπον. — 13 ἱλομένους. — 15 ἑτέρου. — κάματων. — 17 ἀνθροπώμορφα. — 18 ζοωκέφαλος. — 20 ἑρπετὰ. — 21 διγνώσους. — πήκτας· ἀναιδὴς. — 22 δηλοὺς. — 23 βαινομένους. — 24 εἰσόψιφα λέγοντες. —

τὰ δὲ νηκτὰ πλανήτας, βορδοναρίους, ὁδοιπόρους, ποταμοδιάρτας, δύτας, ὑδραγωγούς, βαλανεῖς, δειλοὺς αἰκέων πραγμάτων χάριν·

τὰ δὲ κερατοφόρα ταξιάρχας, πλήκτας ἢ καὶ ἐπηρεαζομένους διὰ γυναῖκας·

τὰ δὲ βλέποντα ἀλλήλους κοινωνίας, φιλίας ἀληθεῖς·

τὰ δὲ ἀκούοντα ἀλλήλους ἀγγελίας, φήμας, ἀποδόσεις γραμμάτων·

τὰ δὲ ὁμόζωνα συμπολίτας, ἀδελφούς, συνδούλους, συγκέλους·

τὰ δὲ ἰσανάφορα ὁμογαλάκτους, συμβίους, ἡνιόχους τὴν αὐτὴν ἔχοντας στρατείαν ἢ μέθοδον, ἅμα πλέοντας, ὁδεύοντας, πραγματευομένους.

V.

Αἱ χῶραι συνοικειούμεναι τοῖς ιβ' ζῳδίοις.

Κριός.

Κατὰ μὲν Πτολεμαῖον· Βρετανία, Γαλατία, Γερμανία, Παλαιστίνη, Ἰδουμαία, Ἰουδαία.

---

1 νικτὰ· πλανίτας. — ὀδυπόρους. — 2 ποταμωδιάρτας. — 3 εἰκέων. — 5 ἐπιρεαζομένους διαγύναικας. — 6 αλέποντα ἀλλήλων. — 7 ἀληθεὶς. — 8 ἀλλήλοις. — 9 ἀποδύσης. — 11 συνκέλους. — 12 ἠνιόχους.

15 Fol. 153^{v} codicis *M.* cfr. quae de eadem re exstant in libello ‘Ἐκ τῶν Ἡφαιστίωνος τοῦ Θηβαίου Ἀποτελεσματικῶν καὶ ἑτέρων παλαιῶν περὶ τῆς τῶν ιβ' μορίων ὀνομασίας καὶ δυνάμεως’ inter Ioachimi Camerarii ‘Astrologica’ Norimbergae a. 1532 edito (pag. 4 sqq.). — αἱ χῶραι *M.* — 17 Πτολεμαῖον: cfr. Κλαυδίου Πτολεμαίου Πηλουσιέως Τετράβιβλος σύνταξις πρὸς Σύρον

κατὰ δὲ Παῦλον· Περσίς.

κατὰ δὲ Δωρόθεον· Βαβυλωνία, Ἀραβία.

ὡς δὲ Αἰγύπτιοι ἐν μέρει οὕτως διώρισαν· ὑπὸ μὲν τὸν ἀριστερὸν ὦμον Βαβυλωνία· κατὰ δὲ τὸν δεξιὸν Θρᾴκη· ὑπὸ δὲ τὸ στῆθος Ἀρμενία· ὑπὸ δὲ τὰς πλευρὰς Ἀραβία ἡ πρὸς Αἰγύπτῳ· ὑπὸ δὲ τὴν ῥάχιν καὶ κοιλίαν Περσίς, Καππαδοκία, Μεσοποταμία, Συρία, Ἐρυθρὰ θάλασσα.

ὡς δὲ Οὐάλης· ὑπὸ τὰ ἐμπρόσθια Βαβυλωνία· ὑπὸ τῇ κεφαλῇ Ἐλυμαΐς· δεξιὰ Περσίς· ἀριστερὰ Κοίλη Συρία καὶ οἱ συνεχεῖς τόποι· κατὰ τὴν ἐπιστροφὴν τοῦ προσώπου Βαβυλωνία· κατὰ τὸ στῆθος Ἀρμενία· ὑπὸ τοὺς ὤμους Θρᾴκη· ὑπὸ τὴν κοιλίαν Καππαδοκία καὶ Σοῦσα, Ἐρυθρὰ θάλασσα καὶ ἡ Ῥυπαρά· ὀπίσθια Αἴγυπτος καὶ ὁ Περσικὸς ὠκεανός.

Ταῦρος.

Ὡς μὲν Πτολεμαῖος· Παρθία, Μηδία, Περσίς, Κυκλάδες, Κύπρος, Μικρὰ Ἀσία.

κατὰ δὲ Παῦλον· Βαβυλωνία.

ὡς δὲ Δωρόθεος· Μηδία, Ἀραβία, Αἴγυπτος.

ὡς δέ τινες· κατὰ μὲν τὰ κέρατα Μηδία· τὰ δὲ δεξιὰ Σκυθία· τὰ δὲ ἀριστερὰ Ἀρμενία· κατὰ δὲ τὴν Πλειάδα Κύπρος.

κατὰ δὲ Οὐάλεντα· τῇ μὲν κεφαλῇ Μηδία· τῷ

ἀδελφόν ab Ioachimo Camerario edita (Norimbergae a. 1535) fol. 16ᵛ et Πρόκλου τοῦ Διαδόχου Παράφρασις εἰς τὴν τοῦ Πτολεμαίου Τετράβιβλον (Lugduni Batavor. a. 1654) p. 105 sq. — 1 παύλον. — 2 Δωρόθεον: vide Arminii Koechly Apotelesmaticorum Manethonis editionem alteram (Lipsiae a. 1858) p. 113. — 4 ὤμον. — 14 σουσσα. — 15 Αἴγυπτος: incipit fol. 154ʳ. — 20 et 21 μιδία. —

δὲ στήθει Βαβυλωνία· τὰ πρὸς τῷ Ἡνιόχῳ δεξιὰ Σκυθία· Πληιὰς Κύπρος· ἀριστερὰ Ἀραβία· ὤμοις Περσὶς καὶ Καύκασος· ὀσφύϊ Αἰθιοπία· μετώπῳ Ἐλυμαΐς· ὑπὸ τοῖς κέρασι Καρχηδονία· τῷ μέσῳ Ἀρμενία, Ἰνδική, Γερμανία.

Δίδυμοι.

Ὡς μὲν Πτολεμαῖος· Ὑρκανία, Ἀρμενία, Μαντιανή, Κυρηναΐκή, Μαρμαρική, Αἴγυπτος ἡ κάτω χώρα.

ὡς δὲ Παῦλος· Καππαδοκία.

ὡς δὲ Δωρόθεος· Καππαδοκία, Περαιβία, Φοινίκη.

ὡς δὲ Αἰγύπτιοι· τοῦ μὲν βορείου Διδύμου ὑπὸ τοὺς πόδας Βοιωτία· ὑπὸ τὴν χεῖρα Θράκη· ὑπὸ τὸν νῶτον Γαλατία· τοῦ δὲ νοτίου ὑπὸ τὸν γλουτὸν Πόντος· ὑπὸ τὸν νῶτον Κιλικία· ὑπὸ τὴν ὠμοπλάτην Φοινίκη· ὑπὸ τὴν κορυφὴν Ἰνδική.

ὡς δὲ Οὐάλης· ἐμπρόσθια Ἰνδική, Κελτική· ὑπὸ τὸ στῆθος Κιλικία, Γαλατία, Θράκη, Βοιωτία· ὑπὸ τὰ μέσα Αἴγυπτος, Λιβύη, Ῥωμαῖοι, Ἀραβία, Συρία.

Καρκίνος.

Ὡς μὲν Πτολεμαῖος· Νουμιδία, Καρχηδονία, Ἀφρική, Βιθυνία, Φρυγία, Κολχική.

ὡς δὲ Παῦλος· Ἀρμενία.

ὡς δὲ Δωρόθεος· Θράκη, Αἰθιοπία.

ὡς δὲ Ὠδαψός· τὰ μὲν πρόσθια Βακτριανή· τὰ δὲ ἀριστερὰ Σκυθία, Ἀκαρνανία, Ἑλλήσποντος, Λιβυκὸν πέλαγος, Βρεττανία, Θούλη νῆσος· κατὰ δὲ τοὺς

---

7 *Ματιανή* est in Tetrabiblo fol. 17^v et 18^r. — 8 *κυριναΐκή*. — 13 *νότον*. — 19 *καρκῖνος*. — 20 *νουμηδία*. — 24 fort. *ἐμπρόσθια*. — 25 *ἐλλήσποντος*, ut solet. —

πόδας Ἀρμενία, Καππαδοκία, Ῥόδος, Κῶς, Αἰόλου νῆσοι· κατὰ δὲ τὰ μέσα Ἀσία· ἐν δεξιοῖς δὲ Λυδία, Ἑλλήσποντος.

ὡς δὲ Οὐάλης· ἐμπρόσθια Βακτριανή· ἀριστερὰ Ζάκυνθος, Ἀκαρνανία· ὀπίσθια Αἰθιοπία, Σχίνη· κατὰ τὴν κεφαλὴν Μαιῶτις λίμνη, Ἐρυθρά, Ὑρκανία θάλασσα, Ἑλλήσποντος, Λιβυκὸν πέλαγος, Βρεττανία, Θούλη· κατὰ τοὺς πόδας Ἀρμενία, Καππαδοκία, Ἄραδος, Κῶς· κατὰ δὲ τὰ ἔσχατα ἐπὶ τοῦ στόματος Τρωγλοδυτία, Λυδία, Ἰωνία, Ἑλλήσποντος.

Λέων.

Ὡς μὲν Πτολεμαῖος· Ἰταλία, Γαλλία, Σικελία, Ἀπουλία, Φοινίκη, Χαλδαία Ὀρχηνία.

ὡς δὲ Παῦλος· Ἀσία.

ὡς δὲ Δωρόθεος· Ἑλλάς, Φρυγία, Πόντος.

ὡς δὲ ἄλλοι· κατὰ μὲν τὴν κεφαλὴν Προποντίς· κατὰ δὲ τὸ στῆθος Ἑλλάς· ὑπὸ δὲ τὴν κοιλίαν Μακεδονία· ὑπὸ δὲ τὴν οὐρὰν Φρυγία.

ὡς δὲ Οὐάλης· ἐπὶ μὲν τῇ κεφαλῇ οἱ περὶ τὴν Κελτικὴν τόποι· ἐμπρόσθια Βιθυνία· δεξιὰ Μακεδονία· ἀριστερὰ Προποντίς· πόδες Γαλατία· κατὰ τὴν κοιλίαν Κελτική, Θρᾴκη· λαγόσι Φοινίκη, Ἀδρίας, Λιβύη· ἐν τοῖς μέσοις Φρυγία, Συρία· οὐρᾷ Πισινοῦς.

Παρθένος.

Ὡς μὲν Πτολεμαῖος· Μεσοποταμία, Βαβυλωνία, Ἀσσυρία, Ἑλλάς, Ἀχαΐα, Κρήτη.

1 et 9 κώς. — 4 βακρηανή sic. — 5 ὀπίσθια. — 8 θούλλη. — 13 χαλδία. — 17 Fol. 154v. — στίθος ἑλλας. — 22 λαγόσιν. — 23 πισηνους. — 26 ἀσσυρίας. —

ὡς δὲ Παῦλος· Ἑλλὰς καὶ Ἰωνία.

ὡς δὲ Δωρόθεος· Ῥόδος, Κυκλάδες νῆσοι, Πελοπόννησος, Ἑλλάς.

ὡς δὲ ἄλλοι· κατὰ μὲν τὸν νῶτον Ἰωνία· κατὰ δὲ τὰ μέσα ἐξ ἀριστερῶν Ῥόδος, Πελοπόννησος· κατὰ δὲ τὸ σύρμα ἐξ ἀριστερῶν Ἀρκαδία, Κυρήνη· κατὰ τὴν δεξιὰν χεῖρα Δωρίς· κατὰ τὴν εὐώνυμον Σικελία· κατὰ τὸν στάχυν Περσίς.

Ζυγός.

Ὡς μὲν Πτολεμαῖος· Βακτριανή, Κασπειρία, Σηρική, Θηβαΐς, Ὄασις, Τρωγλοδυτική.

ὡς δὲ Παῦλος· Λιβύη καὶ Κυρήνη.

ὡς δὲ Δωρόθεος· Κυρήνη, Ἰταλία.

ὡς δὲ Ὠδαψὸς καὶ ἄλλοι· κατὰ μὲν τὸ μέτωπον Ἰταλία· μέσα Ἀραβία, Αἴγυπτος, Αἰθιοπία, Καρχηδών· ὀπίσθια Λιβύη, Κυρηναϊκή· δεξιὰ Σπάρτη καὶ Λιβύη, Σμύρνης ὄρος· κατὰ τὴν κεφαλὴν Τύρος, νῆσος Θρᾳκῶν ἡ πάγκαρπος ἡ κατὰ τὴν Ἀραβίαν κειμένη· κατὰ τὸ στῆθος Κιλικία· κατὰ τὴν κοιλίαν Σινώπη.

Σκορπίος.

Ὡς μὲν Πτολεμαῖος· Μεταγωνῖτις, Μαυριτανία, Γαιτουλία, Συρία, Κομμαγηνή, Καππαδοκία.

ὡς δὲ Παῦλος· Ἰταλία.

ὡς δὲ Δωρόθεος· Καρχηδών, Ἀμμωνιακὴ Λιβύη, Σικελία.

2 ῥόδες. — 10 βακτρηανή· κασπηρία. — 11 ὄασις. — 12 παύλος. — 16 κυριναϊκή. — fort. Σπάρτη καὶ Σίπυλος, Σμύρνης ὄρος. — 17 θακῶν νῆσος est apud Hephaestionem Camerarii p. 12. —

ὡς δὲ ἄλλοι· ἐν μὲν τοῖς ἐμπροσθίοις Ἰταλία· ὑπὸ τὰ μέσα Ἰβηρία· κατὰ τὸ μέτωπον Ῥώμη, Βασταρνία.

Τοξότης.

Ὡς μὲν Πτολεμαῖος· Τυρρηνία, Κελτική, Σπανία, Ἀραβία Εὐδαίμων.

ὡς δὲ Παῦλος· Κιλικία, Κρήτη.

ὡς δὲ Δωρόθεος· Γαλλία, Κρήτη.

ὡς δὲ Ἵππαρχος· κατὰ μὲν τὴν ῥάχιν Κρήτη, Σικελία· κατὰ δὲ τὰς πλευρὰς Ἰταλία· κατὰ δὲ τὸ μέσον καὶ τὴν κοιλίαν Ἰβηρία.

ὡς δὲ Ὠδαψός· τὰ μὲν ἐμπρόσθια Κρήτη καὶ οἱ συνεχεῖς τόποι· ἀριστερὰ Σικελία· δεξιὰ Κύπρος, Ἐρυθρὰ θάλασσα· κατὰ δὲ τοὺς ὀπισθίους πόδας Οὔξιανοί, Τυρρηνοί· κατὰ δὲ τὴν ῥάχιν Κασπάνιοι καὶ τὰ περὶ τὸν Εὐφράτην ἔθνη· κατὰ δὲ τὴν οὐρὰν Μεσοποταμία, Καρχηδονία, Λιβυκὴ θάλασσα· κατὰ δὲ τὴν κεφαλὴν Ἰταλία καὶ ὁ Ἀδριατικὸς κόλπος· κατὰ δὲ τὸ στῆθος Συρία· κατὰ δὲ τὴν φαρέτραν Ἀτλαντικὸν πέλαγος· κατὰ δὲ τὴν κοιλίαν Τρίβαλλοι, Βακτριανή, Σικελία· ἐπὶ τοῖς ἐμπροσθίοις ποσὶν Αἴγυπτος καὶ οἱ συνεχεῖς τόποι.

Αἰγόκερως.

Ὡς μὲν Πτολεμαῖος· Ἰνδική, Ἀρειανή, Γεδρωσία, Θρᾴκη, Μακεδονία, Ἰλλυρίς.

ὡς δὲ Παῦλος· Συρία.

---

1 ἰταλία. — 4 τυρηνία. — 7 κρίτη. — 8 ῥάχην. — 14 τυρηνοι. — 18 δὲ τὴν φαρέτραν: incipit fol. 155r. — ἀντλατικὸν. — 19 βακτρηανή. — 23 γεδρουσία. —

ὡς δὲ *Δωρόθεος*· Κιμμερία.

ὡς δὲ *ἄλλοι*· τὰ πρὸς ἑσπέραν καὶ μεσημβρίαν πάντα· κατὰ δὲ τὰς πλευρὰς Αἰγαῖον πέλαγος, Κόρινθος· κατὰ δὲ τὴν ζώνην Σικυών· κατὰ δὲ τὸν νῶτον ἡ Μεγάλη θάλασσα· κατὰ δὲ τὴν οὐρὰν Ἰβηρία· κατὰ δὲ τὴν κεφαλὴν Τυρρηνικὸν πέλαγος· κατὰ δὲ τὴν κοιλίαν μέση Αἴγυπτος, Συρία, Καρία.

Ὑδροχόος.

Ὑπόκειται αὐτῷ κλίμα τῆς Αἰγύπτου καὶ ἡ Μέση τῶν ποταμῶν . . .

. . . Σαυροματική, Ὀξειανή, Σουγδιανή, Ἀραβία, Ἀζανία, Γερμανική.

κατὰ μέρος δὲ ὑπόκειται αὐτῷ κατὰ μὲν τὴν ἀριστερὰν χεῖρα καὶ τὸ στῆθος Συρία· ὑπὸ δὲ τὴν δεξιὰν Εὐφράτης καὶ Τίγρις· κατὰ τὴν ὑδροχόην Τάναϊς καὶ οἱ πρὸς νότον καὶ ζέφυρον ῥέοντες.

Ἰχθύες.

Ὑπόκειται ἡ Ἐρυθρὰ θάλασσα ἕως τῶν Ὠκεανοῦ ῥοῶν . . .

. . . Φαζανία, Νασαμωνῖτις, Λυδία, Κιλικία, Παμφυλία.

κατὰ μέρος δέ· κατὰ μὲν τὸ νότιον Μεσοποταμία καὶ κατὰ τὸν νῶτον τῆς Ἀνδρομέδας· κατὰ δὲ τὸ βόρειον . . .

κατὰ τὸν *Ὠδαψόν*· τὰ ἐμπρόσθια Εὐφράτης καὶ Τίγρις· καὶ τὰ μέσα Συρία καὶ Ἐρυθρὰ θάλασσα,

---

10 sq. et 19 sq. et 24 lacunae signa posui. — 15 *τίγρης*. — 16 *ῥέοντες* cum Hephaestione Camerarii p. 18 scripsi pro *πνέοντες*. — 20 *νασσαμωνῖτης*. — 26 *συρίας*. —

Ἰνδική, μέση Περσίς· καὶ ὑπὸ τὸν νῶτον Ἀραβικὴ θάλασσα καὶ Βορυσθένης· κατὰ δὲ τὸν σύνδεσμον τοῦ βορείου Θρᴀ́κη, τοῦ νοτίου Ἀσία καὶ Σαρδώ. —

Κατὰ Παῦλον οὕτως· ὁ μὲν Κριὸς κεῖται κλίματι τὸ τῆς Περσίδος, ὁ δὲ Ταῦρος τὸ τῆς Βαβυλῶνος, οἱ δὲ Δίδυμοι τὸ τῆς Καππαδοκίας, ὁ δὲ Καρκίνος τὸ τῆς Ἀρμενίας, ὁ δὲ Λέων τὸ τῆς Ἀσίας, ἡ δὲ Παρθένος τὸ τῆς Ἑλλάδος καὶ Ἰωνίας, ὁ δὲ Ζυγὸς τὸ τῆς Λιβύης καὶ Κυρήνης, ὁ Σκορπίος δὲ τὸ τῆς Ἰταλίας, ὁ δὲ Τοξότης τὸ τῆς Κιλικίας, ὁ δὲ Αἰγόκερως τὸ τῆς Συρίας, ὁ δὲ Ὑδροχόος τὸ τῆς Αἰγύπτου, οἱ δὲ Ἰχθύες τὸ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ Ἰνδικῆς χώρας.

VI.

Τί σημαίνει ἕκαστον τῶν ζῳδίων καὶ τῶν ἀστέρων καὶ τίνων δεσπόζουσι.

Κριὸς δεσπόζει λειμώνων καὶ πεδινῶν καὶ πάσης νομῆς καὶ ποιμνίων.

Ταῦρος πάντων τῶν ἀροσίμων καὶ πεπονημένων τόπων καὶ βουκολίων.

Δίδυμοι ἀνθρώπων καὶ ὀρέων καὶ κεχερσωμένων καὶ πάντων τῶν ὑψηλῶν τόπων.

Καρκίνος ἐνύδρων τόπων καὶ ἀλσέων καὶ δρυμῶν καὶ τῶν παραλίων καὶ παραποταμίων στρυμόνων καὶ ἐλαιώνων.

---

1 *νότον.* — 3 *σαρδῶ.* — 4 *παύλον οὐτος.* — *κλίμα̅.* — 5 Pro *τὸ* hic et infra scribendum puto *τῷ.* — 8 *ἑλάδος.* — 9 *κυρινης.* — *ἰταλίας.* 13 Fol. 155r *M.* — *ἕκαστον M.* — 19 Fol. 155v. — 21 *ἀλσεων.* — 22 *παραποταμιῶν.* —

Λέων ἐρήμων τόπων καὶ δυσκόλων καὶ τραχηνῶν καὶ ἀγρίων θηρίων

Παρθένος ἀνθρώπων καὶ τῶν σιτοσπόρων γαιῶν καὶ τῶν τοιούτων, καὶ πάντων τῶν πτερωτῶν.

Ζυγὸς ἀνθρώπων καὶ πεδινῶν καὶ ἀνηρότων τόπων καὶ φοινικώνων.

Σκορπίος ἀμπελώνων τῶν ἐν τραχέσι τόποις καὶ μόρων.

Τοξότης ἀμπέλων πεδινῶν καὶ ξηροκηπίων καὶ κέδρων καὶ κυπαρίσσων καὶ φοράδων.

Αἰγόκερως τόπων κηπικῶν καὶ ἀρδευτῶν καὶ αἰπολίων.

Ὑδροχόος ἀνθρώπων καὶ ποταμῶν καὶ θαλασσῶν καὶ πάντων τῶν ἐν αὐτοῖς.

Ἰχθύες λιμνῶν καὶ ἁλιέων καὶ τῶν ἰχθύων.

Ποῖα τῶν εἰδῶν ἀνήκει ἐν ἑκάστῳ ἀστέρι.

Κρόνου κρόμμυα καὶ σκόρδα καὶ νᾶπυ καὶ σησάμη καὶ πέπερι καὶ τὰ ὅμοια, ἔριά τε καὶ αἴγεια.

Διὸς σῖτος, κριθή, ὄρυζα, ὄλυρα καὶ τὰ στύφοντα τῆς ὀπώρας.

Ἄρεως πάντα τὰ δριμέα καὶ στυφώδη τῶν βοτανῶν, καὶ ῥοιαί.

Ἡλίου οἶνος καὶ σίκερα καὶ τὰ τοιαῦτα, καὶ πᾶν τράγημα.

Ἀφροδίτης πᾶν ὄσπρεον καὶ ὀπώρα γλυκεῖα καὶ τὰ ἐαρινὰ ἄνθη καὶ ἀρώματα καὶ μύρα.

---

8 μορῶν. — 15 ἁλιέων scripsi pro αχέων.
16 ἐνὶ ἑκάστω. — 17 σισάμην. — 25 ὀπώρα. —

Ἑρμοῦ ἐλελίσφακος καὶ κύαμος καὶ ὀπὸς καὶ εὔοσμοι βοτάναι χλωραί.

Σελήνης βόμβυξ καὶ λίνον καὶ κάναβις καὶ μιταξιν καὶ ἐλαία καὶ πάπυρος καὶ βούτομον.

Καὶ ἐκ τῶν μεταλλικῶν·

Κρόνου μόλιβος, λιθάργυρος, λίθοι μυλῖται καὶ γαγάτης καὶ κλαυδιανὸς καὶ τὰ τοιαῦτα.

Διὸς κασσίτερος, βήρυλλος καὶ πᾶς λίθος λευκός, σανδαράχη, θεῖον καὶ τὰ τοιαῦτα.

Ἄρεως σίδηρος, μαγνήτης, ψηφῖδες καὶ λίθακες, πυρροὶ καὶ τὰ τοιαῦτα.

Ἡλίου χρυσός, ἄνθραξ, ὑάκινθος, ἀδάμας, σάμφειρος καὶ τὰ τοιαῦτα.

Ἀφροδίτης χαλκός, μαργαρίτης, ὀνυχίτης, ἀμέθυσος, νάφθα, πίσσα, ἄσφαλτος, ὑγράσφαλτος, μέλι, σάκχαρι καὶ ἀμμωνιακὸν θυμίαμα.

Ἑρμοῦ σμάραγδος, ἴασπις, χρυσόλιθος, ἡσύχιον, ὑδράργυρος, ἤλεκτρον, λίβανος καὶ μαστίχη.

Σελήνης ἄργυρος, ὕελος, στίμμι, ξινη, χια, χάνδρα, γῆ λευκὴ καὶ τὰ ὅμοια.

Τί ἐκληρώσατο ἕκαστος τῶν ἀστέρων ἀπὸ τῶν ζώων.

Κρόνος ἐκληρώσατο δράκοντας καὶ ὄφεις καὶ ἐχίδνας καὶ σκορπίους καὶ ἀλώπεκας καὶ λαγωοὺς καὶ ὄνους καὶ μύας καὶ κάτυας καὶ αἰλούρους καὶ τὰ τῆς νυκτὸς πετεινά.

---

1 ἐλελίσφακας. — 3 βαμβυξ. — λίνος. — fort. μιτάριον. — 8 βηρυλος. — 10 μαγνίτης· ψηφίδες. — 12 σάμφηρος. — 14 ὀνυχίτης. — 16 σάχχαρι. — 18 λίβανον. — 19 στιμι.
21 ἕκαστος. — 24 καὶ σκορπίους κτἑ. fol. 156r. — 25 ἐλλουρους.

Ζεὺς ἀνθρώπους καὶ λέοντας καὶ τὰ καθαρὰ ὄρνεα.

Ἄρης κύνας καὶ λύγκας καὶ λεοπάρδους καὶ τὰ ἄγρια θηρία καὶ σαρκοφάγα, χοίρους τε καὶ πιθήκους καὶ σφῆκας.

Ἥλιος πρόβατα καὶ αἶγας ἀγρίας καὶ πρόβατα ἄγρια καὶ ἵππους καὶ ἀλεκτρυόνας καὶ ἀετούς.

Ἀφροδίτη ἐλάφους καὶ ὀνάγρους καὶ δορκάδας καὶ πέρδικας καὶ περιστερὰς καὶ ἰχθύας καὶ ἀκρίδας.

Ἑρμῆς ἑρπετὰ καὶ τὰ παρ' ὕδασι πετεινὰ καὶ τῶν θηρίων τὰ ἡμερώτερα, ἱέρακάς τε καὶ κίρκους καὶ κύνας.

Σελήνη βόας καὶ καμήλους καὶ ἐλέφαντας καὶ τὰ χειροήθη.

VII.

Περὶ τῶν ἐν ταῖς ἐκλείψεσι σημείων.

Τὰ δὲ ἐν ταῖς ἐκλείψεσι γινόμενα σημεῖα προσκείσθω τῷ μέρει τούτῳ·

ἐὰν νυκτερινῆς ἐκλείψεως γενομένης ἀστέρες διάττωσιν εἰς τὸ ἔκλειμμα τῆς Σελήνης, δηλοῦσι μάχην πολεμίων κατὰ τὸ κλίμα τὸ προσῳκειωμένον τῷ ζῳδίῳ.

ἐὰν δὲ ὄμβρος ἐπιγένηται ἐκλείψει Ἡλίου ἢ Σελήνης, νόσους θανατηφόρους ἔσεσθαι μηνύει.

ἐὰν δὲ ὁ Ἥλιος ὅλος ἐκλείπῃ ἢ καὶ ἀμαυρωθεὶς γένηται ὡς κάτοπτρον ἢ ὡς αὐγὰς Σελήνης ἔχων

---

2 λέ..κας (post λέ rasura). — 3 πηθίκους. — 5 αἶγας ἀγρίας. — 8 περιστερᾶς. — 9 ἑρπετὰ.

14 Fol. 156r *M*. — τοῦτο τὸ κεφάλαιον προσγράφεται εἰς τὰ ἀποτελέσματα τῶν ἐκλείψεων m. rec. in marg. — 15 λύει m. rec. in marg. — 18 ἔλιμμα. — 19 προσοἰκειώμενον. — 20 ἢ. — 21 μηνύσι. —

ἄνευ ἀκτίνων, ἐν Συρίᾳ μεγάλων ἀνθρώπων καὶ ἐνδόξων ἀπώλειαν σημαίνει.

ἐν δὲ Ταύρῳ ἐὰν τὸ τοιοῦτον φανῇ ἐπὶ δύο ἡμέρας, ἐπιτατικώτερον καὶ πλείοσιν ἔσεσθαι· ἐὰν δὲ ἐρυθρὸς γενόμενος δι' ὅλης τῆς ἡμέρας, ὡς καὶ τὰ ἐδάφη ἀνταυγεῖν αἱμωπά, φθορὰν καρπῶν καὶ ἀνθρώπων δηλοῖ καὶ φόνους ἔσεσθαι πολλαχοῦ.

ἐὰν δὲ ἐν Διδύμοις αἱματώδης γένηται ἀπὸ ἀνατολῆς ἕως δύσεως, Λιβύῃ καὶ Κιλικίᾳ πολλὰ κακὰ σημαίνει καὶ καρπῶν ἀφορίαν.

ἐν Καρκίνῳ δὲ αἱματώδης γενόμενος ταράξει τὴν Ἰνδῶν καὶ Σύρων καὶ Αἰγυπτίων βασιλείαν.

ἐν δὲ Παρθένῳ σφαγὰς ἔσεσθαι καὶ ὄχλων ἐπαναστάσεις τῷ ἡγουμένῳ προαγορεύσει.

ἐν Χηλαῖς δὲ ἐρυθρὸς γενόμενος ἀποστατῆσαι τοὺς ὄχλους τοῦ ἡγουμένου Λιβύης· ἀμυδρὸς δὲ γενόμενος ἀνατέλλων πόλεμον ἔσεσθαι καὶ στενοχωρίαν ἐν Λιβύῃ καὶ Κιλικίᾳ καὶ Ἰταλίᾳ καὶ Φοινίκῃ καὶ τοῖς πρὸς ἑσπέραν οἰκοῦσιν.

ἐν δὲ Σκορπίῳ Λιβύῃ καὶ Αἰθιοπίᾳ κακόν τι μηνύει.

ἐν δὲ Αἰγόκερῳ ἀμαυρωθεὶς τῷ ἡγεμόνι Αἰγύπτου καὶ τοῖς ὑπ' αὐτὸν δεινὰ καὶ θόρυβον σημαίνει.

ἐν δὲ Τοξότῃ ἀνατείλας ὡς κομήτης ἐρυθρὸς τῷ τῆς Ἀσίας ἡγουμένῳ πόλεμον σημαίνει· ἐὰν δὲ τὴν κόμην πρὸς βορρᾶν ἀποτείνῃ, λύπας καὶ δενδρικοῦ καρποῦ ἀφορίαν ἀποτελέσει.

ἐν δὲ Ὑδροχόῳ γενόμενος ἐρυθρὸς ἐπιθήσεσθαι

---

4 *ἐπιταττικώτερον.* — 5 *ὡς* scripsi pro *ὠ.* — 18 *ἰταλία.* — 19 *ἑσπέραν οἰκούσιν.* — 22 *αὐτῶν.* — *σημαίνει* fol. 156ᵛ. — 23 *τὼ.* — 25 *κόμιν.* —

τὰ στρατόπεδα τοῖς φίλοις τοῦ βασιλέως κατὰ νότον διαγορεύει.

ἐὰν δὲ ἐν τοῖς Ἰχθύσι κομήτης γένηται καὶ ἄλλος τις ἱερὸς ἀστὴρ ὀφθῇ ἐκ τῶν δρόμων, ἐν Αἰγύπτῳ καὶ Συρίᾳ φόνους καὶ στάσεις ἔσεσθαι λέγουσι καὶ πολλὰ παράδοξα καὶ σεμνὰ καὶ τερατώδη, καὶ ἐπὶ πολὺν χρόνον. —

Ἐὰν δὲ ἐν Κριῷ Ἡλίου ὄντος ἀστέρες ὀφθῶσιν ἡμέρας, ἐπαναστάσεις καὶ σφαγὰς μηνύσουσι.

ἐὰν δὲ ἐν Τοξότῃ ἡμέρας ἄστρον ὀφθῇ, πόλεμον ἐν Αἰγύπτῳ καὶ Ἀσίᾳ προαγορεύει.

ἐὰν δὲ ἐν Αἰγόκερῳ τὸ ἱερὸν ἄστρον διαδράμῃ μέγα ποιοῦν φῶς, ταῖς παραθαλασσίοις πόλεσι πρὸς νότον λύπας καὶ πήματα σημαίνει.

ἐν δὲ τῷ Ὑδροχόῳ ἀστέρες φανέντες ἡμέρας πόλεμον Αἰγύπτῳ καὶ ἀθροίσεις ἐπ᾽ ἀδικίᾳ προλέγουσι.

ἐὰν δὲ ἐν Ἰχθύσιν ἄστρον τι ὀφθῇ ἡμέρας ἐν ᾧ δὴ τόπῳ, ἀνάγκας τοῖς ἐκεῖσε ἀνθρώποις καὶ κακῶν αὔξησιν καὶ δόλους κεκρυμμένους σημαίνει. —

Τὰς δὲ γιγνομένας ὑπὸ γῆν τελείας ἐκλείψεις σεισμῶν αἰτίας ὑπαρχὴν ὡς ἐπὶ τὸ πλεῖστον ἐσημειώσαντο τό τε βασιλικὸν τρίγωνον τὸ διὰ Κριοῦ καὶ Λέοντος καὶ Τοξότου βασιλεῦσι καὶ τῇ βασιλείῳ αὐλῇ· καὶ Ἡλίου μὲν ἐκλείποντος θάνατον τοῖς κατὰ ἀνατολὴν καὶ τὴν Ἀσίαν τυράννοις ἢ ἡγουμένοις σημαίνεσθαι, τῆς δὲ Σελήνης κατὰ τὴν Εὐρώπην καὶ δυσμάς· ἐξαιρέτως δὲ κατὰ τὸν Ὑδροχόον καὶ τὸν

---

3 κομήτις. — 13 πόλεσιν. — 16 προλέγει. — 20 ὅταν αἱ ὑπὸ γῆν τελείαι ἐκλείψης (sic) σεισμοὺς σημαίνουσι eadem manus in marg. — ἐκλείψης. —

Λέοντα ἐκλείποντος τοῦ Ἡλίου στειρώσεις, ξηράνσεις τῶν ποταμῶν καὶ τῶν ὑδάτων γίνεσθαι, κατὰ μὲν τὸν Ὑδροχόον τῶν κατ' ἄρκτον, κατὰ δὲ τὸν Λέοντα τῶν κατ' Αἴγυπτον καὶ μεσημβρίαν τάς τε τοῦ Ὠκεανοῦ κατά τε ἀνατολὰς καὶ τὰς δύσεις, ὑποχωρήσεις, πλημμύρας καὶ ἀμπώτεις τοῦ τε Ἀτλαντικοῦ πελάγους καὶ τῆς Ἐρυθρᾶς θαλάσσης τὰς καθ' ἕκαστον νυχθήμερον γιγνομένας ὑπὸ τῶν τῆς Σελήνης ἀνατολῶν καὶ καταδύσεων σαλεύεσθαι καὶ κινεῖσθαι ἐκ βάθρων σημαίνει.

---

1 *στειρῶσεις.* — 6 *ἀντλατικοῦ.* — 7 *καθέκαστον.*

Subiicio codicis *M* indicem non plenum quidem, sed paulo pleniorem Bandiniano (Catalog. II p. 59—62): fol. 1r *ἑρμοῦ ἰατροῦ μαθηματικὰ πρὸς ἄμμωνα αἰγύπτιον.* — 5r *περὶ χειρουργησιων:* — *γαλινοῦ καὶ περὶ κατακλίσεως νοσούντων.* — 15r *περὶ κατακλίσεως· ἐπιτομὴ τῶν παγχαρίου.* — 17r *περὶ κατακλίσεων καὶ νόσων.* — 21r *κανόνιον τοῦ τρισμεγίστου του ἑρμοῦ.* — 23r *ψήφος τοῦ ὑφίλαι ἐπι τῶν κ̅θ̅.* — 23v *ἕτερος ψῆφος τοῦ ὑφίλε ἐπι τῶν τριάκοντα.* — *ψῆφος τοῦ ὑφίλαι ἐπὶ τῶν λ̅ς̅.* — 24r *περὶ κατακλίσεων.* — 24v vacuum scriptura. — 25r *πῶς δεῖ σκέπεσθαι τὰς μεταφορὰς τῶν χρόνων καὶ τὰ συμβαίνοντα ἐν αὐτῶ ἐν ταῖς τέσαρσι τροπαῖς τοῦ ἐνιαυτοῦ.* — 28v *εἰς τὰ πτολεμαίου ἀποτελέσματα.* — 35r *περὶ τῆς τῶν πλανομένων δυνάμεως.* — 39r *περὶ τῶν ὡρῶν τοῦ ἔτους.* — 51v *εἰς τὸ πρῶτον βιβλίον τῶν πτολεμαίου πρὸς σύρον ἀπὸ τελεσμάτων:* — *διαίρεσις τῆς καθολικῆς ἐπισκέψεως.* — 58v *τοῦ αὐτοῦ θεοφίλου ἐπισυναγωγὴ περὶ κοσμικῶν καταρχῶν.* — 68r *περὶ συνοδοπανσελήνων* $\overset{\varepsilon}{\pi}$ *κατα*$\overset{\chi}{\rho}$. — 84r *ἐκ τῶν ἀντιόχου θησαυρῶν ἐπίλυσις καὶ διήγησις πάσης ἀστρονομικῆς τέχνης.* — 93v *περὶ τῆς ἐκ τῶν οικείων ἐνεργειῶν καὶ μορφώσεων ἐφηρμοσμενης τοῖς τοῦ ζωδιακου τμήματος διαφόρου προσηγορίας.* — 94v *ἐκ τῶν κοσμικῶν ἀποτελεσμάτων.* — 95r *τὰ σημαινόμενα ἐνταῦθα ἔσεσθαι· ἄνεμοι βροχαὶ βρονταὶ πρηστῆρες αὐχμοὶ λιμοὶ λοιμοὶ σεισμοί.* — 98r *ὅσα σημαίνουσιν οἱ πλανόμενοι ἀστέρες ἐν εκάστω τῶν ζωδίων γινόμενοι.* — 99r *ὅσα ὁ ζεῦς ἐν τοῖς ζωδίοις γινόμενος σημαίνει.* — 100v *περὶ ὧν ὁ άρης σημαίνει ἐν τοῖς ζωδίοις.* — 101v *περὶ ὧν ἡ ἀφροδίτη σημαίνει ἐν τοῖς ζωδίοις.*

— 102^r περὶ ὧν ὁ ἑρμῆς σημαίνει ἐν τοῖς ζωδίοις. — 103^r περὶ τῆς τῶν πλανομένων ἀστέρων φυσικῆς ἰδιοτροπίας καὶ τῶν ἀπλανῶν: — (man. rec. add. πτολεμαίου). — 106^v περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς. — 107^v ὅσα δὲ ἀποτελοῦσιν οἱ ε̄ πλανῆτ ἐν τοῖς δωδεκατημορίοις κατα τὴν τοῦ ἄστρου ἀνατολὴν ταῦτα ἐστὶν. — 110^r φυσικὴ θεωρεία περὶ τῶν γινομένων σεισμῶν ὡς οἱ παλαιοῖ. — 113^v περὶ σεισμῶν προσημείωσις. — 114^v περὶ καθολικῶν ἐπισκέψεων καὶ ἀποτελεσμάτων. — 117^v ἀποτελέσματα γιγνομένων ἐκλείψεων καὶ τῶν κομήτων. — 122^r περὶ τῶν ἐν ταῖς ἐκλείψεσι χρωμάτων καὶ κομητῶν. — 123^r ὅσα ἡ σελήνη ἐν τῆ τοῦ κυνὸς ἐπιτολῆ ἑκάστω ζωδίω διερχομένη σημαίνει. — 124^r περὶ ἐπιτελόντων καὶ δυόντων ἀστέρων κτε̄. — 133^v περὶ ἐνεργείας τῶν ιβ̄ ζωδίων. — 134^r περὶ ἀποτελεσμάτων τῶν ιβ̄ ζωδίων. — 134^v περὶ τῶν παρανατελώντων τοῖς ιβ̄ ζωδίοις· κατα τεύκρον. — 136^v κατάστασης ταὶ παρατήρισης περὶ τῶν ὡρῶν ἑκάστης ἡμέρας· πῶς δεῖ ἡμᾶς ἀναστρέφεσθαι· εἰ δε ὑπόθεσις ἔστιν ἀπο τῶν ζ̄ ἀστέρων. — 137^r ἡμεροδρόμιον πάππου τῶν διεπόντων καὶ πολευόντων. — 137^v περὶ τῶν σιμασιῶν τοῦ πολεύοντος καὶ διέποντος ἀστέρος κτε̄. — 144^r καθολικὴ παραγγελία περὶ καταστημάτων· σύρου. — 145^r κριοῦ δωδεκατημόριον. — 153^r καθολικὴ ἐπιτήρησις πρὸς σελήνην περὶ κεραυνων καὶ ἄλλων καταστημάτων ἐκ τῶν λαβέωνος καθ ἑρμηνείαν πε λέξην ἀπὸ τῆς θερινῆς τροπῆς. — 153^v περὶ καταρχῶν λόγων. — αἱ χώραι συνοικειούμεναι τοῖς ιβ̄ ζωδίοις. — 155^r τί σημαίνει ἕκαστον τῶν ζωδίων καὶ τῶν ἀστέρων καὶ τίνων δεσπόζουσι. — 155^v ποῖα τῶν ειδῶν ανήκει ἑνὶ ἑκάστω ἀστέρι. — τί ἐκληρώσατο ἕκαστος τῶν ἀστέρων ἀπο τῶν ζώων. — 156^r περὶ τῶν ἐν ταῖς ἐκλείψεσι σημείων. — 156^v περὶ τῶν ἡλιακῶν καὶ σεληνιακῶν διοσημείων καὶ τῶν ἐξ αυτῶν καθολικῶν ἀποτελεσμάτων. — 158^v περι καθολικῶν καταρχῶν καὶ παρατηρήσεων. — 164^r οἱ κλιμακτῆρες λαμβάνονται κατα τὸν φιλόσοφον ἡλιόδωρον ἐννεακαιδεκαχῶς· κτε̄. — μαξίμου περι καταρχῶν μεταφρασθὲν πεζη λέξει ἐκ τῶν ηρωϊκων μετρων. — 167^r περὶ τῶν ιβ̄ ζωδίων καὶ τῆς τούτων συνόψεως. — 168^v περὶ ὧν ποιοῦνται φάσεων οἱ ε̄ ἀστέρες πρὸς τὸν ἥλιον. — 169^r περὶ ὧν ἐπέχουσι κατα δεκανῶν προσώπων ἐν τοῖς ιβ̄ ζωδίοις οἱ περιπολεύοντες ζ̄ ἀστέρες. — 170^v terminatur codex his verbis ἐκ τοῦ ῑ κεφαλαίου τῆς ιβ̄ τροπ τῶν καταρχῶν· ἐὰν γίνε . . .

———————





